1 ss. Ex Valente habet Hephaestio p. 47, 10 s. ed. Engelbr. 2 Ergo ponitur in parte VIII, cf. Boeckh, *Sonnenkreise*, 184 ss. 3 καὶ πολυσπόρα ... μάλιστα ex Hephaest. rest. 4 τετράποδον cod. τὴν ζώνην? 6 Aliquid deesse videtur. 7-8 τῆς ... τοῦ suppl. Boll. 9 βορόθεν (ρ rupersc.) cod. : βορρόθεν pro βορρᾶθεν semper dicit Valens ex analogia verbi νοτόθεν. 10 ἄρκτος· φύλακες cod. 11 ss. Cf. excerptum e L(aurentiano) post *Ammonis rel.*, ed. Ludwich, p. 113, 9. 12 ἐλοιμαῖς cod. 13 Βαβυλωνία aut hic aut supra v. 11 corruptum. 14 ὑπὸ τὴν κοιλ. L. 15 Σοῦσα L; Συρία Heph. Quid sit Rhypara, non assequor. 19 οὗτο sic cod. εὐδινόν cod. 22 δὲ suppl. 23 ψυκτικά coni. 25 ἔαρι] ἄερι coni. λοιμοποιά cod. φθαρτικά cod. 28 πρῶτα corr. Boll : λοιπὰ cod. ἔτι corr. Boll : ἔστι cod. 29 αἱ κνῆμαι suppl. Boll. 30 συνανατέλλει suppl. Boll. 32 κηρίκειον cod. Cf. Boll, *Hermes*, XLIII, 1899, p. 644 s.

Digitized by Google

ζῴδιον κόσμου περιποιητικόν, γεῶδες, χωρικόν, γεωργικόν, δουλελεύθερον, κατωφερές, ὀλιγόγονον, ἡμίφωνον καὶ ἄφωνον, ἀγαθόν, ἀμετάβολον, ἐργαστικόν, ἀτελές, σημαῖνον περὶ θεμελίων, κτημάτων. κεῖται δὲ ὁ ἐκλειπτικὸς τόπος ἐν τῷ Βορρᾷ κατὰ τὸ ὕψος ἀνατέλλων. οἱ δὲ γεννώμενοι ἔσονται ἀγαθοὶ, ἐργαστηριακοί, πονικοί, συντηρητικοί, φιλήδονοι, φιλόμουσοι, εὐμετάδοτοι, τινὲς δὲ γεηπόνοι, καταφυτεύοντες, κτίζοντες· ἐὰν δέ πως καὶ ἀγαθοποιοί προσνεύσωσι τῷ τόπῳ ἢ καὶ ὁ οἰκοδεσπότης καλῶς πέσῃ, γίνονται ἀρχιερεῖς γυμνασίαρχοι, στεμμάτων καὶ πορφύρας (f. 258ᵛ) καταξιούμενοι, εἰκόνων τε καὶ ἀνδριάντων ἱερῶν προεστῶτες, ἐπίσημοι, λαμπροί.

Ἐστὶ δὲ τὰ ὑποτεταγμένα κλίματα· κατὰ τὴν κεφαλὴν Μηδία καὶ οἱ συνεχεῖς τόποι· <τῷ δὲ στήθει Βαβυλωνία· τὰ πρὸς τῷ Ἡνιόχῳ δεξιά, Σκυθία>· ἡ Πλειάς, [ἡ] Κύπρος· τὰ ἀριστερά, Ἀραβία καὶ οἱ πέριξ τόποι· κατὰ τοὺς ὤμους Περσίς, καὶ τὰ Καυκάσια ὄρη ὑπὸ τὸ κύρτωμα ἄρχονται· ὑπὸ τὴν ὀσφὺν Αἰθιοπία· ὑπὸ τὸ μέτωπον Ἐλυμαῖς· ὑπὸ τὰ κέρατα Καρχηδονία· μέσοις μέρεσιν Ἀρμενία, Ἰνδική, Γερμανία.

Δίδυμοί εἰσιν ἀρσενικοί, δίσωμοι, φῶνοι, οἶκος Ἑρμοῦ, ἀνωφερεῖς, ἀερώδεις, θηλυνόμενοι, δουλελεύθεροι, στειρῶδεις, δημόσιοι· οἱ οὖν γεννώμενοι γίνονται φιλολόγοι, γράμματα καὶ παιδείαν ἀσκοῦντες, ποιητικοί, φιλόμουσοι, φώνασκοι, οἰκονομικοί, πίστεις ἀναδεχόμενοι· γίνονται δὲ καὶ ἑρμηνεῖς, ἐμπορικοί, κριτικοὶ κακῶν καὶ ἀγαθῶν, φρόνιμοι, περίεργοι, ἀποκρύφων μύσται· καὶ ὅσα ποτὲ ὁ οἰκοδεσπότης εἴωθεν ἀποτελεῖν κατὰ τὴν ἰδίαν φύσιν ἤτοι ἀγαθὰ ἢ φαῦλα ἢ ἥττονα ἢ μείζονα, ταῦτα καὶ ἓν ἕκαστον τῶν ζῳδίων ἀποτελέσει κατὰ τὴν τοῦ οἰκοδεσπότου σχηματογραφίαν χρηματιστικὴν ἢ ἀχρηματίστον, ἵνα μὴ δοκῶμεν τὰ αὐτὰ γράφειν. εἰσὶ δὲ καὶ εὐδιεινοί· κατὰ μέρος δὲ αἱ γ' μοῖραι εὐτελεῖς, φθαρτικαί· ἀπὸ γ' ἕως ζ', εὔυγρα· εὐκρασία δέ ἐστιν ἀπὸ μοίρας ζ' ἕως ιε'·<τὰ> νότια εὔυγρα· τὰ δὲ ἔσχατα μεμιγμένα· ἀστέρας δὲ ἔχει κα'. κεῖται δὲ ἐν ἀνέμῳ λιβί. πρόσκειται δὲ αὐτῷ κατὰ τὰ σφαιρικὰ κατά τι μέρος τῶν νοτίων ψαύουσα οὐρὰ Κήτους, ἐκ δὲ <τῶν> κατὰ τῶν νοτίων τυγχανόντων μερῶν ἔσω τῆς νοτίου γραμμῆς ἐστι Σάτυρος ψαύων τῷ ῥοπάλῳ, ἐκ δὲ τῶν βορείων αὐτοῦ μερῶν ὀπισθοφανὴς ὑπάρχει, οὗ ἡ δορά. εἰς τὸ νότιον μέρος ἡ Λύρα κεῖται. ἐπιβέβηκε δὲ αὐτὸς τῇ νοτίῳ γραμμῇ, μέσος ὢν βορρᾶ τε καὶ νότου. ὑπὸ

3 κτήματων] l. κτίσματων? 6 εὐματαδότοι cod. 8 οἰκοδεσπότη cod. 11 ss. L apud Ludwich, p. 113, 124 ss. μήδεια cod. 12 τῷ δὲ ... Σκυθία ex L supplevi, cf. Hephaest., I, 1, p. 49, 16 Engelbrecht. 13 Πληιάς L : κατὰ τὴν Πλειάδα rectius Hephaestio. ἡ seclusi. ἀρραβία cod. : Ἀρμενία habet Hephaestio. 14 κίρτωμα cod. : Περσίς, Καύκασος cet. omiss. L. 16 ἑλοιμαίς cod. 18 φῶνα cod., corr. : φωνήεντες sive εὔφωνοι mavult Kroll. 27 εὐδιινοι cod. μέρος αἱ δὲ cod. 30 λιβίω cod. : λιβὶ vel λίβα scribendum est. 30-31 κατὰ τ. σφαιρικά] i. e. ὄργανα, in globis caeli formam exhibentibus (Kroll). 32 τῶν suppl. 33 De Satyro, qui pro Orione ponitur, agit Fr. Boll in libro de sphaera.

Digitized by Google

δὲ τοὺς πόδας αὐτοῦ τῆς νοτίου γραμμῆς κατὰ τὸν ἡμῶν ἐμφανῆ κόσμον ἐστὶν ὁ λεγόμενος Κύων πρὸ τοῦ δεξιοῦ ποδός, τέμνεται δὲ ἀπὸ τοῦ νοτίου πόλου ἀπὸ τῶν ὀπισθίων ἄχρι τῆς κεφαλῆς, συναναβαίνων τῷ πόλῳ ὀρθῶς. παρανατέλλει δὲ νοτόθεν καὶ τοῦ Ποταμοῦ τὸ λοιπόν καὶ Ὠρίων. σύνεισι δὲ αὐτοῖς θεοί Ἀπόλλων, Ἡρακλῆς, Ἥφαιστος, Ἥρα, Κρόνος· βορρόθεν δὲ δύνει Ἀρκτοφύλαξ, Ὀφιοῦχος πλὴν τῆς κεφαλῆς καὶ τοῦ Στεφάνου τὸ ἥμισυ.

Ἔστι δὲ Διδύμοις ὑποτεταγμένα κλίματα τάδε· ἐμπρόσθια, Ἰνδικὴ καὶ οἱ συνεχεῖς τόποι καὶ Κελτική· στῆθος, Κιλικία, Γαλατία, Θρᾴκη καὶ [ἡ] Βοιωτία. μέσα, Αἴγυπτος, Λιβύη, Ῥωμαῖοι, Ἀραβία, Συρία.

<Κ>αρκίνος εὐδιεινός· κατὰ μέρος δὲ ἐπὶ τοὺς δύο ἀστέρας τοὺς πρώτους νοταπηλιωτικοὺς εὐτελής, φθαρτικός, πνιγώδης, σεισμοποιός· ἀπὸ δὲ τούτων μέχρι μοίρας ι' ποιεῖ τὸν ἀέρα καθύγρον, καυματώδη, ἔχοντα καταφορὰν ὑδάτων καὶ συνεχεῖς ὄμβρους· τὰ δεξιὰ εὐτελῆ καὶ φθαρτικά. νοτόθεν συναν(f. 259r)τέλλει Λαγωὸς καὶ τοῦ Κυνὸς τὰ ἐμπρόσθια καὶ ὁ Προκύων. ἀστέρας δὲ ἔχει δ'. Ἄρεως, Ἑρμοῦ, Διός, Πανός, Ἀφροδίτης. βορρόθεν δύνει Ἀρκτοφύλακος κεφαλὴ καὶ ὁ Ἐνγόνασι καὶ Ἀετὸς καὶ Στεφάνου τὸ ἥμισυ, ἐστὶ δὲ οἶκος Σελήνης, θηλυκόν, τροπικόν, ὡροσκόπος κόσμου, δοῦλον, κατωφερές, ἄφωνον, ὑδατῶδες, ἀγαθόν, εὐμετάβολον, δημόσιον, ὀχλικόν, πολιτικόν, πολύγονον, ἀμφίβιον. οἱ οὖν γεννώμενοι ἔσονται φιλόδοξοι, ὀχλικοί, εὐμετάβολοι, πολυμετάβολοι, θεατρικοί, εὐφραντικοί, εὐφθαρτικοί, φιλήδονοι, φιλοσυνέστιοι, δημόσιοι. τῇ δὲ γνώμῃ ἄστατοι, ἄλλα λέγοντες ἄλλα φρονοῦντες, ἐπὶ μιᾶς πράξεως [ἢ] τὸ πολὺ μὴ διαμένοντες, ἐν πλάναις καὶ ξενιτείαις γινόμενοι.

Ἐστὶ τῷ Καρκίνῳ ὑποτεταγμένα τάδε· ἐμπροσθία, Βακτριανή· ἀριστερά, Ζάκυνθος, Ἀκαρνανία· ὀπίσθια, Αἰθιοπία, Σχίνη[1]. κατὰ τὴν κεφαλὴν Μαιῶτις λίμνη καὶ τὰ περιοικοῦντα ἔθνη καὶ τῇ Ἐρυθρᾷ καὶ <τῇ> Ὑρκανίᾳ θαλάσσῃ καὶ Ἑλλήσποντος καὶ Λιβυκὸν πέλαγος καὶ Βρετανικὴ καὶ ἡ Θούλη νῆσος· κατὰ τοὺς πόδας Ἀρμενία, Καππαδοκία, Ῥόδος, Κῶς· κατὰ δὲ τὰ ἔσχατά ἐστι τοῦ Καρκίνου ἐπὶ τοῦ στόματος Τρωγλοδυτία, Ἰωνία, Ἑλλήσποντος.

1 αὐτοὺς cod., correxi. τῶν ἡμῶν cod., corr. 2 Κύων πρὸ corr. Boll : προκύων cod. 11 εὐδινός cod. 12 νοταπηλιώτης cod. πηγώδης cod. : πνιγώδης corr. ex Heph., p. 52, 8. 13 ποεῖ corr. : ἐπὶ cod. 14 καθορὰν cod. Cf. καταφορὰν ὄμβρων, Plat. *Ax.*, 370 C. Cf. Firmic., V, f. 104v *a*. 17 Πανός (sc. ἐστί Καρκίνος) corr. : πόνος cod. De deorum enumeratione, cf. supra p. 84, v. 12. 20 εὐματάβολον cod. 22 πολυευμετάβολοι cod. 25 ἢ τὸ πολὺ δύο μὴ μένοντες cod., corr. 26-33 Cf. L apud Ludwich, p. 115, 3. 29 τῇ suppl. Fort. leg. καὶ ἡ Ἐρυθρὰ καὶ ἡ Ὑρκανία θαλάσσα. 30 Βρετανία L. 31 ἄραδος cod. et L : correxi ex Hephaestione, p. 57, 18 : Ῥόδος, Κῶς καὶ Ἰλίου νῆσοι. 32 τρωγλοδυεῖα cod. ἑλλήσποντος aut hic aut in v. 29 delendum.

[1] Nota regionis τῶν Σίνων nomen insolitum, quod ad verbum indicum *Tschina* propius accedit quam forma vulgaris; cf. Kiepert, *Alte Geographie*, 1878, p. 43.

Digitized by Google

<Λ>έων ἐστὶν ἀρρενικόν, οἶκος Ἡλίου, ἐλεύθερον, πυρῶδες, εὔκρατον, νοερόν, βασιλικόν, ἐδραῖον, ἀγαθόν, ἀνωφερές, εὐμετάβολον, στερεόν, ἡγεμονικόν, πολιτικόν, ἀρχικόν, ὀρτίλον. οἱ οὖν γεννώμενοι ἐπίσημοι, ἀγαθοί, ἀμετάβλητοι, δίκαιοι, μισοπόνηροι, ἀνυπότακτοι, κολακείας μισοῦντες, εὐεργετικοί, παρεπηρμένοι ταῖς διανοίαις, ἐὰν δὲ καὶ ὁ οἰκοδεσπότης ἐπίκεντρος τύχῃ, ἢ καὶ σὺν ἀγαθοποιοῖς, γίνονται λαμπροί, ἔνδοξοι, τυραννικοί, βασιλικοί. ἔστι δὲ καυματώδης, ὁ δὲ ἐν τῷ στήθει λαμπρὸς πυρώδης καὶ πνιγώδης, ἔχει δὲ κατὰ μέρος μέχρι <μοίρας> κ' πνιγώδη, λοιμικὰ τετραπόδων τοῖς ὑποκειμένοις κλίμασι καὶ τόποις, τὰ δεξιὰ κινητικά, πυρώδη, τὰ δὲ νότια εὔυγρα, πυρώδη, τὰ δὲ κατωτέρω ὀλέθρια πρὸς πάντα, τὰ δὲ μέσα καὶ ἀριστερὰ εὔκρατα. ἀστέρας δὲ ἔχει ὁ Λέων **. κατὰ δὲ τὰ σφαιρικὰ βορρόθεν συνανατέλλει ὁ ἀριστερὸς βραχίων τοῦ Ἀρκτοφύλακος, νοτόθεν πρύμνα Ἀργοῦς, καὶ τοῦ Κυνὸς τὸ λοιπὸν καὶ τῆς Ὕδρας ἧς ἡ μὲν οὐρὰ παράκειται ἄχρι τῆς χηλῆς τοῦ <Σκορπίου, ἡ δὲ κεφαλὴ ἄχρι τῆς χηλῆς τοῦ> Καρκίνου. ἐπάνω δὲ αὐτοῦ ἐφέστηκεν Ἄρκτος ἡ μικρά, κατὰ δὲ τὴν γραμμὴν παρατείνει κεφαλὴ τοῦ Δράκοντος, ἣν βαστάζει Ὀφιοῦχος [μέχρι τοῦ Κρατῆρος] βορρόθεν δέ ἐστι Δελφίν, Λύρα, τὸ Ζεῦγμα, Ὄρνις πλὴν τοῦ λαμπροῦ ἀστέρος κατὰ το ὀρθοπύγιον Ἀετοῦ καὶ τοῦ Ἵππου ἡ κεφαλή.

Ἔστι δὲ τῷ Λέοντι ὑποτεταγμένα κλίματα· ἐν τῇ κεφαλῇ μὲν Κελτικὴ καὶ οἱ συνεχεῖς τόποι· ἐμπρόσθια, Βιθυνία· δεξιά, Μακεδονία καὶ οἱ συνεχεῖς τόποι· ἀριστερά, Προποντίς· πόδες, Γαλατία· κατὰ τὴν κοιλίαν Κελτική· ὤμοις Θρᾴκη· λαγόσι, Φοινίκη (f. 259ᵛ), Ἀδρίας, Λιβύη· ἐν τοῖς μέσοις, Φρυγία, Συρία· οὐρᾷ, Πισινοῦς.

<Π>αρθένος οἶκος Ἑρμοῦ, θηλυκόν, πτερωτόν, ἀνθρωποειδές, τρυφῆρες· + σχῆμα δίκ(ην) ἑστώς, δίσωμον, στειρῶδες, δουλελεύθερον, ἄγονον, κατωφερές, γεῶδες, κοινόν, ἡμίφωνον καὶ ἄφωνον, σωματικόν, ἀτελές, εὐμετάβολον, ἐργαστηριακόν, διφυές· οἱ δὲ γεννώμενοι ἀγαθοί, αἰδήμονες, μυστικοί, πολυμέριμνοι, ποικίλως τὸν βίον διάγοντες, ἀλλοτρίων χειρισταί, πιστικοί, ἀγαθοὶ οἰκονόμοι, γραμματεῖς ἀπὸ λόγων ἢ ψήφων ἀναγόμενοι, ὑποκριτικοί, περίεργοι, ἀποκρύφων μύσται, τὰ πρῶτα ἀναλίσκοντες, ἐν δὲ τοῖς μέσοις εὐποροῦντες.

3 ἀρκτικόν cod., corr. 6 τύχοι cod. 9 μέχρις κ' cod. 10 Aliud πυρώδη delendum? Cf. Hephaest., p. 54, 3. 12 Numerus deest in cod. 13 τοῦ Ἀρκτ. corr. Boll: καὶ ὁ Ἀρκτοφύλαξ cod. 15 Σκορπίου ... τοῦ suppl. Boll. μικρά] inimo μεγάλη (Boll). 17 ἣν] Malim ὃν (Boll). μέχρι τοῦ κρατῆρος] Haec verba huc aperto errore transposita sunt; verum locum habebant post v. 15, Καρίκνου. 21-25 L apud Ludwich, p. 115, 18 s. 21 ἐπὶ τῇ κ. L. 24 Κελτική aut hic aut supra (v. 18) mutandum. ὤμοις corr.: ὁμοίως cod. et L. 25 οὐρὰ πισηνούς cod. Inveniuntur formae Πεσσινοῦς, Πεσινοῦς, Πισινοῦς. 26 ss. Laterculi regionum quae Virgini, Librae, Scorpio, Sagittario subiacent, tempore quo excerpta codicis Laurentiani saec. X facta sunt, in archetypo iam omissi erant, cum in libro Florentino pariter atque in Marciano desiderentur. 27 Verba corrupta. An σχημα ·ισμῷ ?

Digitized by Google

<Ζ>υγὸς οἶκος Ἀφροδίτης ἀρρενικόν, τροπικόν, ἀνθρωποειδές, ἀνωφερές, ἀερῶδες, θηλυνόμενον, φωνῆεν, ἀγαθόν, εὐμετάβολον, ὑπαρχόντων μειωτικόν, ὑπόγειον κόσμου, δημόσιον, ἐκλειπτικόν, προεστὸς καρπῶν, οἰνικῶν, ἐλαϊκῶν, μυρεψικῶν, σταθμῶν, μέτρων, ἐργαστη-
5 ριακῶν. οἱ γεννώμενοι ἀγαθοὶ μὲν καὶ δίκαιοι ἀλλὰ βάσκανοι, ἀλλοτρίων ἀγαθῶν ἐπιθυμηταί, μέτριοι τὰ πρῶτα, <τὰ> κτηθέντα ἀπολλύντες καὶ ἐν ὑψοταπεινώματι γινόμενοι, ἀνωμάλως βιοῦντες, προϊστάμενοι δὲ ἐπὶ μέτρων ἢ σταθμῶν ἢ εὐθηνίας.

<Σ>κορπίος οἶκος Ἄρεως, θηλυκόν, στερεόν, ὑδατῶδες, πολύσπερ-
10 μον, φθοροποιόν, κατωφερές, ἄφωνον, δουλικόν, ἀμετάβλητον, δυσωδίας αἴτιον, ὑπαρχόντων ἀφαιρετικόν, ἐκλειπτικόν, πολύχουν. οἱ δὲ γεννώμενοι δόλιοι, πονηροί, ἅρπαγες, φονικοί, προδόται, ἀμετάβλητοι, ὑπαρχόντων ἀφαιρετικοί, λαθρεπίβουλοι, κλῶπες, ἐπίορκοι, ἀλλοτρίων ἐπιθυμηταί, συνίστορες φόνων ἢ φαρμακειῶν ἢ κακούργων πραγμά-
15 των, μισοῖδιοι.

<Τ>οξότης οἶκος Διὸς ἀρρενικόν, πυρῶδες, ἀνωφερές, φωνῆεν, κάθυγρον διὰ τὴν Ἀργώ, ἀγαθόν, πτερωτόν, εὐμετάβολον, δίσωμον, διφυές, αἰνιγματῶδες, ὀλιγόγονον, ἡμιτελές, ἡγεμονικόν, βασιλικόν· οἱ δὲ γεννώμενοι ἀγαθοί, δίκαιοι, μεγαλόψυχοι, κριτικοί, εὐμετάδοτοι,
20 φιλάδελφοι, φιλόφιλοι· τὰ δὲ πρῶτα κτηθέντα μειοῦντες, πάλιν κτώμενοι, ἐχθρῶν καθυπερτεροῦντες, φιλόδοξοι, εὐεργετικοί, ἐπίσημοι, αἰνιγματωδῶς διαπλέκοντες τὰ πράγματα.

<Ἀ>ιγόκερως οἶκος Κρόνου, θηλυκόν, τροπικόν, γεῶδες, φθοροποιόν, ἄγονον, κατωφερές, κατεψυγμένον, ἄφωνον, δουλικόν, κακῶν
25 αἴτιον, ἀσελγές, λατρευτικόν, αἰνιγματῶδες, διφυές, κάθυγρον, ἡμιτελές, κυρτοειδές, χωλόν, δύσις κόσμου, μόχθων καὶ πόνων δηλωτικόν, λαοξικόν, γεωργικόν. οἱ γεννώμενοι κακοί, ἑτερότροποι, ὑποκρίσει ἀγαθοὶ καὶ ἁπλοῖ, πονικοί, πολυμέριμνοι, ἐπάγρυπνοι, φιλογέλωτες, μεγάλων ἔργων ἐπίβουλοι, δυσαμάρτιστοι, εὐμετανόητοι, κακοῦργοι, ψεῦσται, ἐπίψο-
30 γοι, ἐπαισχροί· ἐστὶ δὲ καὶ εὔκρατος ἐπ' ἀμφότερον. κατὰ μέρος ἔχει δὲ τὰ πρῶτα φθαρτικά, τὰ δὲ δεύτερα κάθυγρα, ὁμβρικά, κινητικά, τὰ δὲ μέσα πυρώδη, τὰ δὲ ἔσχατα φθαρτικά. ἀστέρας δὲ ἔχει ***. κατὰ <τὰ> σφαιρικὰ βορρόθεν (f. 260ᵛ) ἀνατέλλει Κασσιέπεια, <καὶ τὰ> δεξιὰ μέρη τοῦ Ἵππου· νοτόθεν δύνει τὰ ὀπίσθια τοῦ Κενταύρου καὶ τὰ σκέλη τῆς

2 φωνάεν cod. 3 προεστὼς cod. 4 μυρεψικόν cod. 6 τὰ suppl. 7-8 προϊστάμενοι ... εὐθηνίας i. e. fiunt aediles sive ἀγορανόμοι. 15 δισοίδιοι cod. : μισοῖδιοι corr. i. e. suos odio prosequentes. Cf. p. 98, 13. 16 φωνάεν cod. Cf. v. 2. 22 Si recte Valentis geographica ex Hipparchi copiis fluxisse statuimus, olim in fine huius paragraphi similia legebantur his, quae Hephaestio servavit : κατὰ δὲ Ἵππαρχον κατὰ μὲν τὴν ῥάχιν Κρήτη, Σικελία, κατὰ δὲ τὰς πλευρὰς Ἰταλία, κατὰ δὲ τὸ μέσον καὶ τὴν κοιλίαν Ἰβηρία (Heph. p. 60, 30 s. Engelbrecht = Ludwich, *op. cit.*, p. 117, 8). 26 λαοξικόν] λακτικόν coni. Kroll : λαοξοϊκόν Boll. 27 γινόμενοι cod. 28-29 μεγάλων ... ἐπίβουλοι finem hexametri (Dorothei ?). Numerus omissus est. 32 τὰ suppl. 33 κασσιεπείαν cod. τὰ suppl.

Digitized by Google

Ὕδρας ἄχρι τοῦ Κρατῆρος. εἰσὶ δὲ θεοί· Ἀφροδίτη, Σελήνη, Δημήτηρ, Ἑρμῆς. βορρόθεν οὐδέν ἐστιν.

Ἔστι δὲ τῷ Αἰγοκέρῳ ὑποτεταγμένα κλίματα τάδε πρὸς ἑσπέραν καὶ μεσημβρίαν πάντα. κατὰ τὰς πλευρὰς Αἰγαῖον πέλαγος καὶ οἱ περιοικοῦντες καὶ Κόρινθος· κατὰ τὴν ζώνην Σικυών· κατὰ τὸν νῶτον θάλασσα Μεγάλη· κατὰ τὴν οὐρὰν Ἰβηρία· κατὰ τὴν κεφαλὴν Τυρρηνικὸν πέλαγος, κατὰ δὲ τὴν κοιλίαν τὰ *** ἐνοικοῦντα ἔθνη. μέσα, Αἴγυπτος, Συρία, <Καρία>.

Ὑδροχόος ἐστὶν ἐν οὐρανῷ ζῴδιον ἀρρενικόν, στερεόν, ἀνθρωπόμορφον, πάρυγρον, μονογενές· ἐστὶ δὲ ἄφωνον, κατάψυχρον, ἐλεύθερον, ἀνωφερές, θηλυνόμενον, ἀμετάβλητον, κακόν, ὀλιγόγονον, αἴτιον μόχθων τῶν δι' ἀθλήσεως ἢ βασταγμάτων καὶ σκληραγωγίας, ἐργαστικόν, δημόσιον· οἱ δὲ γεννώμενοι βάσκανοι καὶ μισοῖδιοι, ἀμετάβλητοι. μονογνώμονες, τυφώδεις, δόλιοι, ἀποκρυπτόμενοι πάντα, μισάνθρωποι, ἄθεοι, κατήγοροι, προδόται δόξης καὶ ἀληθείας, ἐπίφθονοι, μικρολόγοι, ὅτε δὲ εὐμετάδοτοι, διὰ τὴν ἔκρυσιν τοῦ ὕδατος, αὐτοκόλαστοι· ἐστὶ δὲ ὁλοσχερῶς κάθυγρος καὶ τὰ μὲν μέρη τὰ πρῶτα κάθυγρα, τὰ δὲ ἀνωτέρω πυρώδη, τὰ δὲ κατωτέρω εὐτελῆ καὶ ἀχρεῖα. ἀστέρας ἔχει **. κατὰ δὲ τὰ σφαιρικὰ βορρόθεν ἀνατέλλει Ἀνδρομέδας μέρη τινὰ τῶν δεξιῶν καὶ τοῦ Ἵππου τὰ λοιπά. νοτόθεν ὁ νότιος τῶν Ἰχθύων πλὴν τῆς κεφαλῆς. Ἥρας, Ἡρακλέους, Ἡφαίστου, Κρόνου. βορρόθεν δύνει<οὐδέν>. νοτόθεν δὲ τοῦ Κενταύρου τὰ λοιπὰ καὶ τῆς Ὕδρας ἄχρι τοῦ Κόρακος. [εἰσὶ δὲ τῷ Ὑδροχόῳ ὑποτεταγμένα κλίματα τάδε.] κεῖται δὲ τὸ ζῴδιον ἐν ἀνέμῳ λιβί, πρόσκειται δὲ τῷ κλίματι τῷ τῆς Αἰγύπτου καὶ ταῖς πέριξ πόλεσιν, ἐκ μὲν τῶν νοτίων αὐτοῦ μερῶν ἄχρι Ψελχέως καὶ Δωδεκασχοίνου καὶ Συκαμίνου, ἐκ δὲ τῶν πρὸς λίβα μερῶν ἄχρι τῆς Ἀμμωνιακῆς χώρας καὶ τῶν πέριξ πόλεων, ἐκ δὲ τῶν πρὸς ἀπηλιώτην μερῶν ἄχρι τῆς Ἐρυθρᾶς θαλάσσης κατὰ θέξιν, ἐκ δὲ τῶν βορείων αὐτοῦ <μερῶν> ἄχρι Σεβεννύτου τόπων καὶ στόματος Ἡρακλεωτικοῦ· πρόσκειται δὲ αὐτῷ κατὰ τὰ σφαιρικὰ κατὰ τὸν νότιον πόλον ποταμὸς ὁ καλούμενος Ἡριδανὸς καὶ Ἰχθὺς ὁ μέγας, ψαύων τῆς οὐρᾶς τοῦ Ἰχθύος. ἐν δὲ τοῖς βορεινοῖς τόποις ἔσω τοῦ βορείου πόλου ἐστὶν ὁ λεγόμενος Ὄρνις, ὑπὲρ ὃν Ὀϊστὸς παρατείνει, ὅπου ἡ Ἄρκτος ἡ λεγομένη Κυνόσουρα ἀποβλέπουσα εἰς βορρᾶν.

1 δήμητρα cod. 2 οὐκ ἔνεστιν cod. : corr. Boll. = οὐδὲν δύνει. Cf. infra p. 99, v. 18, in Piscibus. 3 ss. cf. Ludwich, *op. cit.*, p. 118, 2 ss.; Hephaest., p. 63. 2, Engelbrecht. 6 Κυλληνία, Τυρηνία, κατὰ τὸ στῆθος Τυρρηνικὸν πέλαγος, Hephaestio. 7 Lacunam signavi. κατὰ τὴν κοιλίαν μέση Αἴγυπτος Συρία, Καρία, L et Heph.; unde Καρία suppl. 14 ὁμονογνώμονες cod. 19 numerus deest. 21 Ἥρας ... Κρόνου a librario transposita esse videntur. Cf. supra, p. 84, v. 12. 23-24 εἰσὶ ... τάδε seclusi; cf. p. 99, v. 1. Ordo rerum turbatus socordiam compilatoris prodit. 24 πρόκειται cod. 25 ἐν μὲν cod. De re, cf. Paulum Alex., A : Ὑδροχόος κεῖται κλίματι τῷ τῆς Αἰγύπτου. 27 πέρυξ cod. 29 μερῶν suppl. 32 Ἰχθὺς immo Τοξότου (Boll).

Digitized by Google

Πρόσκειται δὲ αὐτῷ κλίματα τάδε· ἐμπρόσθια, Συρία· μέσα, Εὐφράτης καὶ Τίγρις, Αἴγυπτος καὶ Λιβύη καὶ οἱ συνεχεῖς Αἰγυπτίων ποταμοὶ καὶ Ἰνδὸς ποταμός· κατὰ δὲ τὸ μέσον τῆς Κάλπης Τάναϊς καὶ οἱ λοιποὶ ποταμοὶ ἐκ τοῦ † ὑπὸ τοὺς πόδας ῥέοντες πρὸς νότον καὶ ζέφυρον.

<Ἰ>χθύες εἰσὶν ἐν οὐρανῷ θῆλυ, κάθυγρον, πάρυγρον, δίσωμον, πολύγονον, λιχηνῶδες (f. 260v), λεπιδωτόν, νευρῶδες, κυρτωτόν, ἀλφῶδες, δίμορφον, ἄφωνον, πολυκίνητον, λεπρῶδες, ἀντικείμενον ἑαυτῷ διὰ τὸ τὸν μὲν νότιον εἶναι, τὸν δὲ βόρειον· ἐστὶ δὲ καὶ κάθυγρον, κατωφερές, δουλικόν, εὐμετάβολον, πολύγονον, δίσωμον, συνουσιαστικὸν, μελεοκοπούμενον, πλάνης αἴτιον, ποικίλον· οἱ οὖν γεννώμενοι ἄστατοι, ἀμφίβολοι, ἐκ κακῶν εἰς ἀγαθὰ μεταβάλλοντες, ἐρωτικοί, λατρευτικοί, ἀσελγεῖς, πολύγονοι, ὀχλικοί· εἰσὶ δὲ ὁλοσχερῶς ψυχεινοί, πνευματώδεις· κατὰ μέρος δ' ἔχουσι τὰ πρῶτα εὔκρατα, μέσα κάθυγρα, ἔσχατα φθαρτικὰ καὶ εὐτελῆ. ἀστέρας δὲ ἔχει *. βορρόθεν συνανατέλλει τὰ λειπόμενα τῆς Ἀνδρομέδας καὶ τὰ λοιπὰ τοῦ Περσέως, τὰ δὲ ἐν δεξιῷ, καὶ τὸ ὑπὸ τὸν Κριὸν Τρίγωνον, νοτόθεν τοῦ νοτίου Ἰχθύος<ἡ> κεφαλή· Ποσειδῶνος, Ἄρεως, Ἑρμοῦ, Ἀφροδίτης, Διός· νοτόθεν δύνει Θυμιατήριον καὶ τὰ λειπόμενα τῆς Ὕδρας, βορρόθεν οὐδέν. πρόσκειται δὲ ἀνέμῳ βορρᾷ. πρόσκειται δὲ κλίματι τῆς Ἐρυθρᾶς θαλάσσης, ἔχον νήσους οὐκ ὀλίγας παρ' ἑαυτῷ, ἃς ὑπέρκειται ἡ Ἰνδία καὶ ὁ λεγόμενος Ἰνδικὸς ὠκεανός· ἐν δὲ τοῖς ἀπηλιωτικοῖς αὐτοῦ μέρεσι τὴν Παρθίαν ἔχει καὶ τὴν Ἰνδικὴν χώραν κατὰ θίξιν καὶ τὸν Ἀπηλιωτικὸν ὠκεανόν, ἐκ τῶν βορείων αὐτοῦ μερῶν τὴν Σκυθικὴν χώραν· ἐκ δὲ τῶν πρὸς λίβα αὐτοῦ μερῶν ψαύει προσκλύζον Μυοσόρμου <καὶ> Ὀρθοῦ ὅρμου καὶ τῶν πέριξ πόλεων. πρόσκειται δὲ αὐτοῖς κατὰ τὰ σφαιρικὰ· πρὸς μὲν τὰ βόρεια μέρη τεμνόμενος ὑπὸ τοῦ βορείου πόλου Ἀετὸς καὶ κατά τι μέρος Ὀϊστός, ἔσω δὲ τοῦ βορείου πόλου, οὐ πολὺ διεστώς, ἔτι δὲ ὁ καλούμενος Πήγασος ἔσω τοῦ ἀρκτικοῦ πόλου.

Ἀφέστηκε δὲ τῶν ὅλων τμημάτων ὁ ἀρκτικὸς πόλος ἐν μέσῳ τῶν πάντων κείμενος, ἔχων ἐν ἑαυτῷ τὴν Ἄρκτον τὴν λεγομένην Κυνόσουραν, φερομένην ἀπὸ τῶν βορείων ἐπὶ τὰ ἀπηλιωτικά, ποτὲ δὲ καὶ ἀπὸ τῶν νοτίων, τὴν δὲ ἑτέραν, τὴν καλουμένην μικρὰν Ἄρκτον, ἥτις μεσα-

1 πρόκειται cod. 1 ss. Cf. Hephaest., p. 64, 18 ss., Engelbrecht = Ludwich, *l. c.*, p. 118, 13 ss. 3 Κάλπης] cf. Geminus, *Elem. Astron.*, III, 6 : Οἱ ἐν ἄκρᾳ τῇ δεξιᾷ χειρὶ κείμενοι τοῦ Ὑδροχόου τέσσαρες ἀστέρες Κάλπις (var. Κάλπη) καλοῦνται. 4 ὑπὸ τοὺς πόδας corruptum. Fortasse fiebat mentio τῶν Ὑπερβορείων. ῥέοντος cod., corr. ex Hephaest. 6 κιρτωτόν cod. 14 numerus deest. 15 λοιπὰ] Malim πρῶτα, sed λ. tolerari potest, nam altera Persei pars supra p. 93, v. 7 in cap. de Ariete nominata est (Boll). 16 ἡ add. Boll. 18 πρόκειται cod. 19 s. Cf. Paul Alexandr., A = Ludwich, *op. cit.*, p. 119, 11, de Piscibus : Κεῖται κλίματι τῷ Ἐρυθρᾶς θαλάσσης καὶ Ἰνδικῆς χώρας, ἀπομεμερισμένον ἀνέμῳ βορρᾷ. 20 ἑαυτό cod. 24 ψαύει προσκλύζον (sic) Μυοσόρμου (om. καὶ) ante τὴν Σκυθικὴν transp. cod., perperam, nam Pisces incipiunt ubi Aquarius desinit, cf. p. 98, v. 28. ὀρθοῦ ὅρμου] Portus mihi ignotus est. 25 κατά τε cod. 28 ἀρκτικοῦ] immo βορείου (Boll). 32 μικρὰν. Lege μεγάλην, nam Cynosura est Ursa minor, Arcturus ad

Digitized by Google

ζούσης τῆς νυκτὸς ἀνατέλλει, ἃς κατέχει ὁ καλούμενος Ἀρκτοφύλαξ περίτασιν φέρων [κατὰ τοῖν δυεῖν ἄρκτοιν]· ὅς ἐστιν ἀφανὴς κατὰ τὴν ἀνάδοσιν τῶν δύο Ἄρκτων, ἡ μὲν γὰρ εἰς τὰ βόρεια ἀποβλέπει, ὁ δὲ εἰς τὰ νότια.

Εἰσὶ δὲ καὶ κατὰ μέρος ὑποτεταγμένα κλίματα τάδε. ἐμπρόσθια, Εὐφράτης καὶ Τίγρις. μέσα, Συρία, Ἐρυθρὰ θάλασσα· τὰ ἐμπρόσθια, Ἰνδική, † μέσα, Περσὶς καὶ οἱ συνεχεῖς τόποι, Ἀραβικὴ θάλασσα καὶ Ἐρυθρὰ καὶ Βορυσθένης ποταμός. οὐρά, ... ὁ δὲ σύνδεσμος πρὸς ἀνατολὴν καὶ ἀπηλιώτου βορείου ἀστέρος· ὁ νότιος, Θρᾴκη. μέσα πέλαγος Βορυσθένης καὶ Ἀσία καὶ Σαρδώ.

Sequitur post spatium duorum versuum ad titulum inscribendum relictum doctrina de partibus (μοῖραι) cuiusque signi zodiaci. [Π]εντήκοντα Κριός, καὶ μοῖραι πρῶται Διός εἰσιν, εὔκρατοι, εὔρωστοι, πολύσπερμοι, ἀγαθοποιοί· αἱ δὲ ς' Ἀφροδίτης, ἱλαραί, εὔτεχνοι, διαυγεῖς, ἄρτιοι, καθαροί, εὔχροοι. αἱ δὲ ἐχόμεναι Ἑρμοῦ ἐπαμφοτερίζουσαι, μεταβολικαὶ καὶ εὐφυεῖς (f. 261r), ἀκίνητοι, ἀνεμώδεις... — Des. (f. 262v) ... ἐκθέμενοι οὖν διδασκαλίαν περὶ ἑκάστης μόνης μοίρας τί ἀποτελεῖ, τοῦ οἰκοδεσπότου αὐτοῖς ἐπικειμένου ἀποτελέσει τὸ ἴδιον ἤτοι φαῦλον ἢ ἀγαθόν. νυνὶ ἰδὲ (l. δὲ) περὶ ὡροσκόπου ἐκθήσομαι. — Inc. [Μ]αθὼν ἀκριβῶς πόσων μοιρῶν ἐστιν ὁ Ἥλιος ἐπὶ γενέσεως... Sequuntur computationes variae usque ad f. 263v ... ἀστέρας ἐπὶ κέντρους συγκρίνειν πρὸς τὴν γένεσιν.

Μεσουράνημα δὲ ἀπὸ χειρὸς εὑρεῖν οὕτως[1] — Des. ... ἐπισυνθεὶς τὰς ἀναφορὰς ἕως ἧς ἐπέχει πραγματεύου· ὁμοίως δὲ ἐπὶ τῶν λοιπῶν ζῳδίων = I, 1, cod. Hamb. Edidit Roether in calce editionis Laurentii Lydi, *De mensibus*, Lipsiae, 1827, p. 335.

F. 264r. Inc. Ὁμοίως καὶ περὶ ἀκουόντων καὶ βλεπόντων ἐξαγώνων ζῳδίων ... = cap. I, 3, cod. H.[2]. Ed. Roether, ibid., p. 338.

Σύνοδον καὶ πανσέληνον ἀπὸ χειρὸς εὑρεῖν ... = cap. 1, 4, cod. Hamb.

F. 264v. Περὶ δὲ τῆς ἑβδομάδος καὶ σαββατικῆς ἡμέρας οὕτως ... = I, 5, H.

Εἰ δὲ καὶ τὸν οἰκοδεσπότην τοῦ ἔτους θέλεις ἐπιγνῶναι ... = I, 6, H.

maiorem pertinet. " Sed fere omnia quae de Arctis hoc loco inveniuntur futilia et absurda sunt (Boll). „ 2 Verba κατὰ τοῖν δυεῖν ἄρκτοιν ex subsequentibus κατὰ ... Ἄρκτων hunc in locum irrepsisse videntur (Boll). 5 ss. Cf. Hephaest., p. 66 l. 5 = Ludwich, *op. cit.*, p. 118 ss. 6 Συρία] καὶ ουρά cod., corr. ex Heph. 7 μέσα Περσὶς cod. : μέση Περσίς Heph. Fuit fortasse Μηδία, Περσίς. Cetera apud Heph. sic leguntur : καὶ ὑπὸ τὸν νῶτον Ἀραβικὴ θάλασσα καὶ Βορυσθένης· κατὰ δὲ τὸν σύνδεσμον τοῦ βορείου Θρᾴκη, τοῦ νοτίου Ἀσία καὶ Σαρδώ. 8 Locum desperatum sanare non conatus sum. Post οὐρά lac. circ. 18 litter.

[1] Ab his verbis incipit cod. Vatic. f. 89, Selden. f. 1.

[2] Cap. 1, 2, cod. Hamburgensis, Περὶ ἀναφορᾶς τῶν ζῳδίων, quod edidit Roether, *l. c.*, p. 336, in codice Marciano omissum est.

Digitized by Google

F. 265r. Περὶ δὲ ἀρρενικῶν καὶ θηλυκῶν μοιρῶν οὕτως ... = I, 7, H.
Εἰσὶ δὲ καὶ οἱ φωτισμοὶ τῆς Σελήνης οὕτως ... = I, 8, H.
Ἀφανὴς δὲ γίνεται ἡ Σελήνη ἐπὶ σύνοδον φερομένη ... = I, 9, H.
F. 265v. Περὶ δὲ τριταίας ἑβδομαίας καὶ τεσσαρακοσταίας ... = I, 10, H.
5 Ἀναβιβάζοντα δὲ ἀπὸ χειρὸς εὑρεῖν ... = I, 11, H.
F. 266r. Τὸν δὲ βαθμὸν καὶ τὸν ἄνεμον οὕτως εὑρήσομεν ... = I, 12, H.

Ἱππάρχειον περὶ ψήφου Σελήνης ἐν ποίῳ ζῳδίῳ.

Εὑρεῖν δὲ καὶ ἐν ποίῳ ζῳδίῳ ἡ Σελήνη ἀπὸ χειρὸς οὕτως· ἑκάστου βασιλέως τὴν πρόσθεσιν τῷ ζητουμένῳ ἔτει προσβαλὼν μερίσεις εἰς
10 τὸν γ', μὴ λοιπογραφῶν τὸν ἀριθμὸν ἀλλὰ κατέχων. ἐὰν μὲν γὰρ περισσεύῃ α', πρόσθες ι' τῷ ἀριθμῷ, ἐὰν δὲ β', κ', ἐὰν δὲ γ', μηδέν· ἄρτιος γὰρ ὁ ἀριθμός· εἶτα τὸ ἥμισυ τῶν ἀπὸ Θὼθ μηνῶν ἕως τοῦ γεννητικοῦ λαβὼν καὶ τὰς ἡμέρας ἐπιπροσθεὶς τῷ πρώτῳ ἀριθμῷ καὶ ἀφελὼν, ἐὰν ἕνῃ, τριακοντάδα. τὰς λοιπὰς ἀπόλυε ἀπὸ τοῦ ἡλιακοῦ ζῳδίου, ἐὰν μὲν
15 ἐν ἀρχῇ ᾖ, ἀνὰ β' ἥμισυ, ἐὰν δὲ ἐν ὑστέροις, τὸ ἐπιβάλλον. ὅπου δ' ἂν καταλήξῃ, ἐκεῖ ἡ Σελήνη.

Ὁμοίως δὲ τῷ αὐτῷ τρόπῳ τεθείσης γενέσεως τὴν ἡμέραν εὑρεῖν· τῷ ζητουμένῳ ἔτει τὴν πρόσθεσιν ἐπισυνθεὶς καὶ μερίσας, ὡς πρόκειται, εἰς τὸν τρίτον καὶ τὸ ἥμισυ τῶν μηνῶν ἐπιπροσθεὶς σημειοῦ τὸν ἀριθ-
20 μόν· εἶτα εἰκάσας τὸ ἀπὸ Ἡλίου ἕως Σελήνης διάστημα ὡς ἑκάστου ζῳδίου ἀνὰ β' γ' σύγκρινε πότερος πλείων ἀριθμός· ἐὰν γὰρ ἀπὸ Ἡλίου ἕως Σελήνης διάστημα πλεονάζῃ, ἐκ τούτων ἀφελεῖς τὸν πρῶτον ἐπισυναχθέντα ἀριθμὸν καὶ αἱ καταλειπόμεναι ἡμέραι τὴν ἡμέραν δηλώσουσιν· ἐὰν δὲ ἥττους ὦσιν αἱ τοῦ διαστήματος, ἐπιπροσθεὶς
25 αὐταῖς λ', οὕτως ἀφαίρει τὸν προσυναχθέντα ἀριθμόν· ἐὰν δὲ οἱ δύο ἀριθμοὶ ἀνὰ λ' εὑρεθῶσι, συνοδεύει ἡ Σελήνη τῷ Ἡλίῳ.

Οἷον ἔτος γ' Ἀδριανοῦ Ἀθὺρ κη'· τῷ γ' ἔτει προσέθηκα τὰς ἐξ ἔθους τῷ βασιλεῖ προστιθεμένας β'· γίνονται ε'· (f. 266v) ἐμέρισα εἰς τὸ γ'· <λοιπαὶ β'>· ἀνθ' ὧν προσβάλλω κ', γίνεται κε'· καὶ τὸ ἥμισυ τῶν μηνῶν
30 α' ἥμισυ, καὶ αἱ κη' γίνεται νδ' ἥμισυ· ἀφαιρῶ τριακοντάδα α'· λοιπαὶ κδ'

7 Tit. omissum in M(arciano) ex H(amburgensi) et S(eldeniano) restitui. 8 Εὕρον H: ὑρον (*sic*) M: corr. Usener cf. v. 11. 9 πρόθεσιν H M. τοῦ ζητουμένου M. προσβάλλων codd.: corr. Usener. μερίσης M. 10 λειπογράφων M. 11 τῷ ἀρ. πρόσθες ι' H. 13 ὁ omis H S. τῶν ἀπὸ Θὼθ τὰ ἡμίσ(εα) μηνῶν M. 14 τῆς ἡμέρας H: τὴν ἡμέραν Usener. 14 ἕνῃ scripsi: ἦν codd. τριακοντάδα scripsi: τριακοντάδας H S: τριακοντάδες M. 15 ᾖ scripsi: ἦν codd. ἥμισυ] ἀριθμούς H. siglo verbi ἥμισυ cum siglo verbi ἀριθμός confuso. ὑστέραις M. ἐπιβάλλων H. 16 καταλήξει S: καταλήγει H. 17 δὲ omis. H S. 18 πρόθεσιν H. πρόσκειται S. τρίτον M: γ' H S. 20 τὸ ἀπὸ Σελήνης διάστημα ἕως τοῦ Ἡλίου M. ἑκάστου M S: ἐκ μέσου H. 21 β' γ' M S: βιγ' H. πότερος H: τίς M S. γὰρ H: δὲ M. 24 προσαχθέντα H. ἡμέραι omis H S. 25 οἱ ιβ' ἀριθμοὶ M. 27 ἐξ ἔθους cf. p. 102, v. 11. 28 εἰς τὰ γ' H M 29 λοιπαὶ β' add. Usener. 30 τὴν κὴ codd., corr. νδ' ἥμισυ M: λδ H. μδ' ἥμισυ S. α' omis. S. λοιπὰ H S.

Digitized by Google

ἥμισυ· ἔσται ἡ Σελήνη ἀπὸ συνόδου τοσαύτας ἔχουσα ἡμέρας· ταύτας ἀπολύω ἀπὸ τοῦ ἡλιακοῦ ζῳδίου Τοξότου ἀνὰ β' ἥμισυ· καταλήγει ἡ Σελήνη ἐν Παρθένῳ τῇ προκειμένῃ ἡμέρᾳ.

Τὴν δὲ ἡμέραν οὕτως πάλιν· τῷ γ' ἔτει προσέθηκα τὰς β' καὶ ἐμερισα παρὰ τὸν γ'· λοιπαὶ β'· ἀνθ' ὧν προσέθηκα κ', γίνεται κε'· καὶ τὸ ἥμισυ τῶν μηνῶν α' ἥμισυ. γίνεται κς' ἥμισυ· εἶτα εἵκασα τὸ ἀπὸ Ἡλίου ἕως Σελήνης διάστημα, τοῦτ' ἐστιν ἀπὸ Τοξότου ἕως Παρθένου, ἡμερῶν κδ' ἥμισυ. ἐπεὶ οὖν ἐκ τούτων οὐ δυνατὸν ἀφελεῖν τὰς κς' ἥμισυ τὰς προσυναχθείσας προσέθηκα αὐταῖς λ'· γίνεται νδ' ἥμισυ· ἐκ τούτων ἀφεῖλον κς' ἥμισυ· λοιπαὶ κη', αἵτινες τὴν γεννητικὴν ἡμέραν ἐδήλουν.

Ἑκάστῳ βασιλεῖ ὁ ἐξ ἔθους προστιθέμενος ἀριθμὸς ὁ ὑποτεταγμένος ἐκ καταγωγῆς τοιαύτης.

Αὐγούστου α' καὶ ἐβασίλευσεν ἔτη μγ', γίνεται μδ'· ἀφαιρῶ λ', λοιπαὶ ιδ'. ταῦτας Τιβερίῳ προστιθῶ καὶ τὰ τῆς βασιλείας Τιβερίου κβ', γίνεται λς'· ἀφαιρῶ λ', λοιπαὶ ἕξ. ταῦτα Γαΐῳ προστιθῶ καὶ ἐκράτησε δ', γίνεται ι'. Κλαυδίῳ προσέθηκα καὶ ἐβασίλευσε ιδ', γίνεται κδ'. ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκαετηρίδα, λοιπὰ ε'. ταῦτα Νέρωνι· καὶ ἐβασίλευσε ιδ', γίνεται ιθ'· πλήρης οὖν ἡ ἐννεακαιδεκαετηρίς. καὶ αὕτη μὲν χρηματίζει· ἐὰν προσθῶμεν οὖν εἰς συμπλήρωσιν τῶν λ' Οὐεσπασιανοῦ ια' καὶ ἐβασίλευσε ι', γίνεται κα'· ἀφεῖλον ἐννεακαιδεκαετηρίδα. λοιπὰ β'. ταῦτα Τίτῳ· καὶ τὰ τῆς κρατήσεως γ', γίνεται ε'. ταῦτα Δομετιανῷ· καὶ τὰ τῆς κρατήσεως ιε', γίνεται κ'· ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκαετηρίδα, λοιπὸν α'. ἔστιν ἡ τοῦ Νέρουα πρόσθεσις, καὶ ὃ ἐκράτησεν ἔτος α', γίνεται β'. ταῦτα Τραϊανῷ, καὶ ἃ ἐκράτησεν ιθ', γίνεται κα'· ὑφαιρουμένης τῆς ἐννεακαιδεκαετηρίδος λοιπαὶ περιλείπονται β'. αἵτινές εἰσιν Ἀδριανοῦ, καὶ ἃ ἐκράτησεν εἴκοσι ἓν τῆς βασιλείας, γίνεται κγ'· ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκατηρίδα· λοιπαὶ δ' Ἀντωνίνου. ὁμοίως προστιθῶ ἃ ἐκράτησεν ἔτη κγ', γίνεται κζ'. ἀφ' ὧν ἀφαιρῶ ιθ', λοιπὰ η'. αὗται προστεθήσονται Ἀντωνίνῳ καὶ Λουκίῳ Κομμόδῳ καὶ ἃ ἐβασίλευσε λβ', γίνεται μ'· ἀφ' ὧν ἀφαιρῶ λ', λοιπὰ ι' Σεβήρου καὶ Ἀντωνίνου. καὶ ἐβασίλευσαν κε', γίνεται λε'· ἐξ ὧν ἀφαιρῶ λ', λοιπὰ ε' Ἀντωνίνῳ· καὶ ἐβασίλευσε δ', γίνεται θ' Ἀλεξάνδρῳ· καὶ ἃ ἐβασίλευσε ιγ', γίνεται κβ'· ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκατηρίδα· λοιπὰ δ' τῆς Μαξιμιανοῦ προσθέσεως καὶ ἃ ἐκράτησε γ', γίνεται ζ'. καὶ Γορδιανοῦ ς' καὶ Φιλίππου ς', γίνεται ὁμοῦ ιθ'· πλήρης ἡ ἐννεακαιδεκαετηρίς.

3 ἐν omis. M. προσκειμένῃ H S. 5 πρὸς τὸν H, fors. recte. ἀνθ' ὧν omis. M. 7 τὸ διάστημα]. Quae sequuntur omnia in S et H desunt, qui lacunam hic indicat. 19 προσθῶμεν corr.: θῆμεν cod. 23 ἡ τῆς Νέρουα προσθέσεως cod. 27 ἀντωνίου cod. 29 κομόδῳ cod. Laterculi regna M. Aureli et Veri et Commodi in unum contraxerunt, cf. *Chronica Minora*, t. III, p. 448, 25. 31 ἐβασίλευσεν cod. 35 ss. Philippus non sex sed septem (ζ') annos regnavit et summa horum annorum non est 19 sed 26 vel 27. Extrema verba corrupta sunt.

Digitized by Google

F. 267r. <Titulus deest spatio relicto>.

<Τ>ὸν δὲ Ἥλιον μοιρικῶς οὕτως ἐπιγνώσῃ· πάντοτε τῇ γενεθλιακῇ ἡμέρᾳ προστίθει ἀπὸ μὲν Θὼθ ἕως Φαμενὼθ μοί(ρας) η΄. καὶ τοσούτων εὑρήσεις τὸν Ἥλιον τῷ Φαρμουθὶ ζ΄, τῷ Παχὼν ς΄, τῷ Παῦνὶ ε΄, τῷ Ἐπιφὶ δ΄, τῷ Μεσορὶ γ΄. οἷον ἐν Φαωθὶ ς΄, προσέθηκα η΄· γίνονται ιδ΄· τοσούτων μοιρῶν ὁ Ἥλιος ἐν Ζυγῷ. Παχὼν ς΄ καὶ ς΄· τοσούτων μοιρῶν ὁ Ἥλιος Ταύρῳ.

<Ἐ>πεὶ δέ τινες τῶν φιλομαθῶν περὶ τὴν τῶν ἀριθμῶν ἀγωγὴν προθυμότεροι καθίσταντα, τούτοις ἀναγκαῖον ὑποτάξαι καὶ τοὺς λοιποὺς ἀστέρας ἀπὸ χειρός, ὅπως διὰ τῆς τοιαύτης τριβῆς ἡδεῖαν τὴν μοιρικὴν καὶ ἀκριβῆ διδασκαλίαν ἀναλαβόντες, οὕτως καὶ τὴν τῶν μειζόνων αἱρέσεων διάκρισιν ποιήσωνται μετὰ πάσης προθυμίας.

<Τ>ὸν μὲν οὖν Κρόνον οὕτως ψηφιστέον· τὰ ἀπὸ Αὐγούστου ἔτη πλήρη ἀναλαβὼν ἔκκρουε ὁσάκις δύνῃ ἀνὰ λ΄, τὰ δὲ περιλειπόμενα πολυπλασίασον ἐπὶ τὸν ιβ΄· καὶ ὁσάκις εἰ ἐκκεκρουκὼς τριακοντάδας, ἑκάστου κύκλου ἀναλάμβανε ε΄ καὶ ἀπὸ Θὼθ ἑκάστου μηνὸς ἀνὰ α΄, ἑκάστης δὲ ἡμέρας ἀνὰ λβ΄ καὶ συγκεφαλαιώσας ἀπόλυε ἀπὸ Καρκίνου κατὰ τὸ ἑξῆς ἀνὰ λ΄· καὶ ὅπου δὰν καταλήξῃ, ἐκεῖ ἔσται ὁ ἀστήρ.

<Τ>ὸν δὲ Δία οὕτως. Τὰ ἀπὸ Καίσαρος πλήρη μέριζε παρὰ τὸν ιβ΄, τὰς δὲ καταλειπομένας πολυπλασίασον ἐπὶ τὸν ιβ΄ καὶ συναναλάμβανε τούτοις· ὁσάκις ἂν ᾖς ἐκκεκρουκὼς δωδεκάδας, ἑκάστου κύκλου ἀνὰ α΄ καὶ ἑκάστου μηνὸς ἀνὰ α΄ καὶ ἑκάστης ἡμέρας ε΄ θ΄· καὶ συγκεφαλαιώσας ἀπόλυε ἀπὸ Ταύρου ἀνὰ ιβ΄ ἑκάστῳ ζῳδίῳ.

<Τ>ὸν δὲ Ἄρεα οὕτως. Τὰ ἀπὸ Αὐγούστου μέχρις <οὗ> ζητεῖς ἔτους ἀναλαβὼν ἔκκρουε ὁσάκις δύνῃ ἀνὰ λ΄, τὸν δὲ καταλειπόμενον ἀριθμὸν διάκρινε, πότερον ἄρτιός ἐστιν ἢ ἄνισος, ἵνα ἐὰν μὲν εὕρῃς ἄρτιον, ἀπὸ Κριοῦ τὴν ἄφεσιν ποιήσῃς, ἐὰν δὲ ἄνισον, ἀπὸ Ζυγοῦ. μετὰ οὖν τὸ ἐπιγνῶναι τὸν ἀριθμὸν δίπλωσον καὶ ἑκάστου μηνὸς ἀνὰ β΄ ἥμισυ· ἐὰν ὑπὲρ τὰς ξ΄ γένηται, τὰ λοιπὰ ἀπόλυε ἀπὸ Ζυγοῦ ἢ Κριοῦ, ἑκάστῳ ζῳδίῳ διδοὺς ἀνὰ μοίρας ε΄. ὅπου δ' ἂν καταλήξῃ, σημειωσάμενος τὸ ζῴδιον σκόπει τὸν Ἥλιον, ἐν ποίῳ ζῳδίῳ ἐστίν· ἐὰν μὲν γὰρ ἀνώτερος εὑρεθῇ, ἀναποδίσει ὁ ἀστὴρ ἀπὸ τοῦ εὑρεθέντος ζῳδίου, ἐὰν δὲ κατώτερος, προποδίσει· τουτέστι πάντοτε ἐγγύτερον τοῦ Ἡλίου αὐτὸν ποίει ἀπὸ τοῦ εὑρισκομένου ζῳδίου· καὶ οἱ λοιποὶ δὲ ἀστέρες τὴν

3 Φαρμουθὶ ζ΄ scripsi] φαμενὼθ ἑβδόμω cod. 4 Φαωθὶ traditur semper nec mutare noluit. — Posuisse igitur videtur Solem primo die mensis Thoth in nona signi parte; methodus quam stulta sit apertum, quoniam omnes Aegyptiorum menses tricenorum sunt dierum praeter Mesori, qui habet triginta quinque vel sex. 13 habuerunt ne igitur observationes primo Augusti anno factas, secundum quas tum Saturnus erat in Cancro, Iuppiter in Tauro? Cf. Ptolem. inscr. in hypoth. ed. Halma, p. 59. 15 κύκλου hic et infra per compendium scribitur. 19 συναναλάμβανε cod. 20 ὁσάκις] an ὅσας? ἐκκρουκὼς cod. 21 ε΄ θ΄ fort. corruptum, nec corrigere possum, cum infra in exemplo dierum rationem non habeat. 23 αὐτ. ζητεῖς μέχρις ἔτους cod. 25 πρότερον cod.

Digitized by Google

αὐτὴν δύναμιν ἔχουσι περὶ τὴν μέσην τοῦ Ἡλίου κίνησιν φερόμενοι, μάλιστα δὲ ἡ Ἀφροδίτη.

<Τ>ὴν δὲ Ἀφροδίτην οὕτως. τὰ ἀπὸ Καίσαρος ἕως οὗ ζητεῖς ἔτους ἀναλαβὼν μέριζε (f. 267v) παρὰ τὸν η', τὸν δὲ καταλειφθέντα ἐντὸς τῶν η' ἀριθμὸν σκόπει εἰ ἔχει ἐποχὴν στηριγμοῦ κἀκείνῃ χρησάμενος ἀνα- 5 λάμβανε τὸ πλῆθος τῶν ἡμερῶν ἕως τῆς ἐπιζητουμένης ἡμέρας, ἐάνπερ ἐπιδέχηται. εἰ δ' οὖν, τῇ ὑπεράνω χρῶ, καθάπερ ἐπὶ τῆς Σελήνης· ἐὰν γὰρ πρὸ γενέσεως εὑρεθῇ ἡ ἐποχὴ αὕτη, χρηστέον· ἐὰν δὲ μετὰ τὴν γένεσιν, τῇ ὑπεράνω. συναθροίσας δὲ τὸ κεφάλαιον καὶ ἀφελὼν τοῦ ζῳδίου τὴν ἐποχὴν ἀπόλυε ἑκάστου ζῳδίου μοίρας ρκ' τουτέστι 10 τοῦ στηριγμοῦ τὰς λοιπὰς ἀπὸ τοῦ ἐχομένου ζῳδίου ἀπὸ τῆς ἐποχῆς ἀπόλυε, ἑκάστῳ ζῳδίῳ διδοὺς ἀνὰ κε'. ὅπου δ' ἂν καταλήξῃ ὁ ἀριθμός, ἐκεῖ ἔσται ἡ Ἀφροδίτη. αἱ δὲ ἐποχαὶ τῶν στηριγμῶν πρόδηλοι ἔσονται ἐκ τῶν περιλειπομένων ἐτῶν· ἐὰν περισσεύῃ οἷον α' γ' δ' ς' ζ', στηρίζει· ἐὰν δὲ β' ε', ὁδεύει. ἡ οὖν πρώτη ἐποχὴ ἐφέξει Φαμενὼθ ι' 15 Ταύρῳ, αἱ γ' Φαωθὶ ι' Αἰγοκέρωτι, αἱ δ' Παῦνὶ κβ' Λέοντι, αἱ ς' Τυβὶ η' Ἰχθύσιν, αἱ ζ' Μεσωρὶ ιδ' Ζυγῷ· εἰς τὸ η' ἔτος τὸν στηριγμὸν ἐπέχουσα.

<Τ>ὸν δὲ τοῦ Ἑρμοῦ οὕτως [ψηφιζόμενον ἢ] ψηφιστέον. ἕως τῆς γεννητικῆς ἡμέρας ἀναλαβὼν καὶ ταύταις ἐπιπροσθεὶς πάντοτε ἑξῆθεν ρξβ' καὶ συγκεφαλαιώσας, ἐὰν ᾖ ὑπὲρ τὰς τξ', ἀφελὼν κύκλον τὰς 20 λοιπὰς ἀπόλυε ἀπὸ Κριοῦ ἑκάστῳ ζῳδίῳ διδοὺς ἀνὰ λ', καὶ ὅπου δᾶν καταλήξῃ, ἐκεῖ ὁ ἀστήρ. πάντοτε μὲν οὖν ἔγγιστα τοῦ Ἡλίου αὐτὸν ποίει· οἷον ἐν ἀρχῇ ἦν τοῦ ζῳδίου ὁ Ἥλιος, ἐν τῷ ὄπισθεν αὐτὸν δυνατὸν εὑρεθῆναι· ἐὰν δὲ ἐπὶ τέλει, ἐν τῷ ἑξῆς ζῳδίῳ.

Ἔστω δὲ ἐπὶ ὑποδείγματος ιγ' Τραϊανοῦ Φαμενὼθ ιη'· τὰ ἀπὸ 25 Αὐγούστου ἔτη πλήρη ρλη'. ἐκ τούτων ἀφεῖλον δ' τριακοντάδας, ἀνθ' ὧν ἀναλαμβάνω ἑκάστου κύκλου ἀνὰ ε', γίνονται κ'· τὰς δὲ περιλειφθείσας ιη' πολυπλασιάζω ἐπὶ τὸν ιβ', γίνονται σις'· καὶ ἀπὸ Θὼθ ἕως Φαμενὼθ ἑκάστου μηνὸς ἀνὰ α', γίνονται ζ'· ὁμοῦ πᾶσαι σμγ'. ἔπειτα ταύτας ἀπολύω ἀπὸ Καρκίνου ἀνὰ λ', καταλήγει ἐν Ἰχθύσιν· ἐκεῖ Κρό- 30 νος. — Πάλιν ρλη' ἐμέρισα εἰς τὰς ιβ', ια' καὶ λοιπὰ ς'· ταῦτα δωδεκάκις γίνονται οβ', καὶ ἑκάστου ἐκκρουσθέντος κύκλου ἀνὰ α', γίνονται ια', καὶ τῶν μηνῶν ζ', γίνονται ς'· ταύτας ἀπὸ Ταύρου ἀνὰ ιβ'. καταλήγει Τοξότῃ· ἐκεῖ Ζεύς. — Εἶτα τὸν Ἄρεα οὕτως· ἀπὸ Καίσαρος ἕως τοῦ ζητουμένου ἔτους γίνονται ρλθ', ἐκ τούτων λ' ἀφεῖλον τετράκις, 35 λοιπαὶ ια'. ἐπεὶ οὖν ὁ περιλειφθεὶς ἀριθμὸς ἄνισος εὑρέθη, ἔγνων ὅτι τὴν ἄφεσιν ἀπὸ Ζυγοῦ δεῖ με ποιῆσαι. ταύτας οὖν ἐδίπλωσα, γίνονται κβ', καὶ ἑκάστου μηνὸς ἕως Φαμενώθ, γίνονται ιζ', ὁμοῦ πᾶσαι λθ'· ἐμέρισα ταύτας. ἀπολύω ἀπὸ Ζυγοῦ διδοὺς ἑκάστῳ ζῳδίῳ ἀνὰ ε', καταλήγει Ταύρῳ· ἐκεῖ Ἄρης. — Τὴν δὲ Ἀφροδίτην οὕτως. ρλθ' ἐμέ- 40

8 προγενεσίων cod. 11 nempe del. ἀπὸ alterum. 17 haec non intellego. 35 quod modo CXXXVIII modo CXXXIX annos intercedere dicit, inconstantiae est prorsus puerilis. 36 ια'] requiritur ιθ'. 39 possis ἀπολύων. 40 ρλθ'] λθ' cod.

Digitized by Google

ρισα παρὰ τὸν η', λοιπαὶ γ', αἳ σημαίνουσι στηριγμόν, ἐποχὴν δὲ Φαωθὶ ι' Αἰγοκέρωτι. παραλαμβάνω τὰς λοιπὰς τοῦ Φαωθὶ κ', ἀπὸ δὲ Ἀθὺρ ἕως Μεχὶρ ρκ' καὶ τοῦ Φαμενὼθ τὰς ιη', γίνονται ὁμοῦ ρνη'. ἐκ τούτων ἀφαιρῶ τοῦ στηριγμοῦ καὶ τοῦ Αἰγοκέρωτος (f. 268) ρκ', λοιπὰ λη', ἃ ἀπολύω ἀπὸ Αἰγοκέρωτος ἀνὰ κε'· καταλήγει Ἰχθύσιν· ἐκεῖ Ἀφροδίτη.

Ἐπειδὴ δὲ δοκεῖ πολλὴ περὶ τὴν γένεσιν ὑπάρχειν **, καὶ ἐπὶ ἑτέρας γενέσεως ἐκθήσομαι. Ἀδριανοῦ α' Ἀθὺρ λ', τὰ ἀπὸ Αὐγούστου γίνονται ρμη'· ἃ ἐμέρισα παρὰ τὸν η', λοιπὰ δ', αἳ σημαίνουσιν ἐποχὴν Παῦνὶ κβ' Λέοντι. ἐπεὶ οὖν οὐ χρηματίζει αὕτη ἡ ἐποχὴ διὰ τὸ ὑπὲρ τὴν γένεσιν εὑρεθῆναι, ἀνατρέχω εἰς τὴν ἀνωτέραν, ἥτις ἐστὶ τρίτη Φαωθὶ ι' Αἰγοκέρωτι. λαμβάνω τὰς λοιπὰς κ' τοῦ Φαωθὶ [ἀπὸ δὲ Ἀθὺρ ἕως Μεχὶρ ρκ' καὶ τοῦ Φαμενὼθ τὰς κη'] καὶ ἀπὸ Ἀθὺρ ἕως Μεσωρὶ τ' καὶ ἐπαγομένων ε'· γίνονται τκε' τοῦ προεληλυθότος ἔτους καὶ αὐτοῦ τοῦ καταγομένου ἔτους ἀπὸ Θὼθ ἕως λ' Ἀθὺρ ϛ', γίνονται αἱ πᾶσαι υιε'. ἐκ τούτων ἀφαιρῶ τοῦ στηριγμοῦ καὶ τοῦ ζῳδίου Αἰγοκέρωτος ρκ', λοιπαὶ σϛε'. ταύτας ἀπὸ Αἰγοκέρωτος ἀνὰ κε', καταλήγει Τοξότῃ κ'· ἐκεῖ ὁ ἀστήρ. —

Ἄλλως. Ἀδριανοῦ δ' Μεχὶρ ιγ', ἀπὸ Αὐγούστου ρμθ'. παρὰ τὸν η', λοιπαὶ ε', αἳ οὔτε ἐποχὴν οὔτε στηριγμὸν σημαίνουσιν. ἀνατρέχω εἰς τὴν ἐπάνω ἐποχήν, ἥτις ἐστὶ Παῦνὶ κβ' Λέοντι· ἀναλαμβάνω τὰς λοιπὰς η' τοῦ Παῦνὶ καὶ Ἐπιφὶ καὶ Μεσωρὶ καὶ ἐπαγομένας ε', γίνονται ογ'· καὶ τοῦ καταγομένου ἔτους ἀπὸ Θὼθ ἕως Μεχὶρ ιγ', γίνονται ρξγ'· γίνονται σλς'. ἐκ τούτων ἀφαιρῶ στηριγμοῦ καὶ ζῳδίου Λέοντος ρκ', λοιπαὶ ρις'· ταύτας ἀπὸ Παρθένου ἀνὰ κε', καταλήγουσιν Αἰγοκέρωτι μοίραις ις'. ἐκεῖ ἡ Ἀφροδίτη.

Ὁμοίως ἐπὶ τῆς αὐτῆς γενέσεως καὶ τὸν Ἑρμῆν οὕτως ἐψήφισα· ἔλαβον τὰς ἀπὸ Θὼθ ἕως τῆς ιγ' τοῦ Μεχὶρ ρξγ' καὶ ἔξωθεν προσέθηκα ρξβ', ὁμοῦ τκε'· ταύτας ἀπέλυσα ἀπὸ Κριοῦ ἀνὰ λ', κατέληξεν κε' Ὑδροχόου· ἔνθα ὁ ἀστήρ.

<Titulus omissus.>

Ἡλίου τὸ μὲν δεύτερον καὶ τὸ ϛ' καὶ τὸ ιβ' καλόν, τὸ δὲ ζ' καὶ δ' σαπρόν. Σελήνης τὸ γ' καὶ τὸ η' καὶ τὸ θ' σαπρόν, τὸ δὲ ε' καὶ ια' καὶ ιβ' καλόν. Κρόνου τὸ δ' καὶ τὸ ι' σαπρόν, τὸ δὲ ϛ' καὶ η' καὶ ιβ' καλόν. Διὸς τὸ γ' τὸ θ' τὸ ι' καὶ τὸ ια' καλόν, τὸ δὲ δ' καὶ ζ' σαπρόν. Ἄρεως τὸ γ' τὸ δ' καὶ τὸ θ' καλόν, τὸ δὲ ζ' καὶ ι' σαπρόν. Ἀφροδίτης τὸ γ' καὶ ζ' καὶ η' καλόν, τὸ ι' σαπρόν. Ἑρμοῦ τὸ β' τὸ ε' τὸ ια' σαπρόν, τὸ δὲ ζ' καὶ η' καὶ θ' καλόν. Τὰ δὲ λοιπὰ ἑκάστου ἀστέρος ἀνώμαλα.

Γινόμενοι ἐν τούτοις τοῖς προειρημένοις τόποις οἱ ἀστέρες κατὰ τὰς ἐμβάσεις καὶ μάλιστα τῶν χρόνων δεσπόζοντες ἐν χρηματιστικοῖς

3 ρνη'] ρλη' cod. 6 supple ἀσάφεια, ἀπορία vel sim. 11-12 verba inclusa expunxit librarius. 16 λοιπαῖς ϛε'· ταύταις cod. 23 σλς'] σλε' cod. 31 de septem stellarum in duodecim locis efficacia disserit Firmicus libro tertio, qui plane alias sequitur rationes; cf. etiam quae V. ipse exponit II, 4 (cod. Seld.) περὶ τοῦ λαχόντος τὴν ὥραν ἢ τὸν κλῆρον ἀστέρος.

Digitized by Google

τόποις καὶ ὑπὸ ἀγαθοποιῶν ἢ κακοποιῶν μαρτυρούμενοι ἔσονται ἀγαθῶν ἢ κακῶν δοτῆρες, καθὼς ἐὰν πλεονάσωσιν· ἐὰν δὲ ὁμοῦ ἀναμεμιγμένα, τά τε φαῦλα καὶ τὰ ἀγαθὰ γενήσεται κατὰ τὴν ἑκάστου γένεσιν, ὅθεν παρατηρεῖν ἀεὶ κατὰ τὰς παρόδους ἀναγκαῖον τοὺς τόπους πρὸς τὰς ἐπιδιακρίσεις τῶν χρόνων. 5

Ὑποτάξωμεν δὲ καὶ τὰς συμπαρουσίας καὶ συγκράσεις ἑκάστου ἀστέρος· Κρόνος μὲν οὖν καὶ Ζεὺς ὁμόσε ὑπάρχοντες (f. 268ᵛ) συμπαθεῖς εἰσι πρὸς ἀλλήλους ... Pergit disserens de effectibus binarum planetarum coniunctarum. Des. (f. 270ᶜ) ... διὰ τὸ τῆς Σελήνης μειωτικὸν σχῆμα. — Nonnula excerpta invenies infra in tractatu cod. 6, f. 184 s. 10

Περὶ σχηματισμῶν κατὰ πλείους.

Κρόνος καὶ Ζεὺς καὶ Ἥλιος ἀνώμαλοι καὶ ἀβέβαιοι εἴς τε τὰς περικτήσεις καὶ τὰς φιλίας καὶ τὰς λοιπὰς τῶν πραγμάτων ἐπιβολάς· τῶν γὰρ περικτηθέντων ἀποβολὰς ποιοῦσι καὶ ἐπιφθόνοις αἰτίαις περιπίπτοντας, καὶ ἐξ ἀδοκήτων ἢ νεκρικῶν ὠφελείας ἐνδειξαμένους καὶ τῇ 15 δόξῃ προσαύξοντας <καὶ> καθαιρέσεις ἢ αἰτίας ὕστερον ὑπομένοντας αἰφνιδίους τε κινδύνους καὶ ἐπιβουλάς· ἀποτελοῦσι δὲ καὶ προστασίας ἢ ἐπιτροπὰς ἢ φορολογίας ἢ μισθώσεις ἀλλοτρίων πραγμά των, ὧν χάριν ἢ ταραχὰς ἢ κρίσεις ὑφίστανται καὶ τὴν ὑπόστασιν ἀνώμαλον ἢ ἐπίφοβον κατασκευάζουσι. 20

Κρόνος, Ζεὺς Σελήνη σύμφωνοι, δόξας καὶ ὠφελείας περιποιοῦντες καὶ συστάσεις μειζόνων καὶ δωρεάς· γίνονται δὲ ἐν ξενιτείαις καὶ ἐπὶ ξένης ἢ ἀπὸ ξένων τὰς τῶν πράξεων κατορθώσεις ποιοῦνται οὐ μόνον ἰδίων ἀλλὰ καὶ ἀλλοτρίων πραγμάτων· εὐεργετοῦνται καὶ ἀπὸ θηλυκῶν προσώπων καὶ ἐν περικτήσει γενόμενοι θεμελίων καὶ χωρῶν δεσπόζουσι· 25

2 fort. καθ' ὅ. Si bona et mala ita mixta sunt, ut diiudicare nequeas utra praevaleant, ex qualitate *geniturae* petendum iudicium. 11 Titulum in M(arciano 314) omissum suppl. ex Marciano 324 (= A), f. 191ᵛ; (cf. infra, excerpt. ex cod. 6). Quem codicem A ideo in censum vocavimus quod, etsi excerptoris opus praebeat, propius interdum ad genuinum textum et ordinem accedere videtur quam M, ubi verba Valentis a compilatore aperte contracta et turbata sunt. 12-20 Post p. 107, v. 12, τὰ πράγματα κριθήσεται transp. A. 12-13 ὁ δὲ τοῦ Κρόνου καὶ Διὸς καὶ Ἡλίου ἀποτελεῖ ἀνωμάλους καὶ ἀβεβαίους A. 13 τὰς (prius) omis. A. ἀποβολὰς M. 14 τῶν γὰρ ... ποιοῦσι omis. A. καὶ φθόνου ἕνεκεν ἐναντίοις περιπίπτοντας A. 15 καὶ omis. A. ἀπροσδοκήτων A. ἢ] ἀπὸ A. ὠφελουμένους καὶ A. 16 προσαυξήσαντας M : προαύξοντας A, cf. 107, 8. <καὶ> suppl. Post αἰτίας ἀπεργάζονται add. M. 17 ὕστερον ὑπομένοντας omis. M. τε A : δὲ M. ἐπιτελοῦσι M. καὶ omis. A. 18 ἀλλοτρίων τε πραγμάτων φορολογίας ἢ μισθώσεις M. μισθῶν A. 19 ἢ ante ταραχάς omis. A. ὑφίστανται omis. M. ὑποστασίαν M. 21-107, 2 Post p. 107, v. 27, κρίσεις ὑπομενοῦσι transp. A. Ὁ δὲ τοῦ Κρόνου καὶ Διὸς καὶ Ἑρμοῦς A. σύμφωνοι omis A. 21 δόξης καὶ ὠφελείας περιποιητικοὶ καὶ συστάσεις καὶ δωρεῶν· ποιεῖ δὲ τὰς τῶν πράξεων κατορθώσεις ἐν ξενιτείαις· τινὰς δὲ οὐ μόνον οἰκείων ἀλλὰ καὶ ἀλλοτρίων πραγμάτων προεστῶτας καὶ ἐκ θηλυκῶν προσ ὠπων εὐεργετουμένους A. 25 προσώπων omis. M. καὶ ἐν περικτήσει γινομένους θεμ. τε καὶ χωρειῶν δεσπόζοντας ἢ ναυκλήρους γεγονότας τὸν βίον ἐπαυξῆσαι καὶ ὅσα A.

Digitized by Google

τινὲς μὲν οὖν καὶ ναύκληροι γενόμενοι τῷ βίῳ προσηύξησαν, ἢ ὅσα δι' ὑτρῶν συνίστανται μεταχειρισάμενοι διψκονόμησαν τὸν βίον καλῶς.

Κρόνος καὶ Ζεὺς καὶ Ἄρης ἀπὸ ἀνατολῆς συγκράσεις ἀγαθῶν ἀποτελοῦσιν· τινὰς μὲν οὖν ἐνδόξους, ἀρχιερατικούς, ἡγεμονικούς, ἐπ-
5 τροπικούς, ὄχλων καὶ χωρῶν προεστῶτας ἢ στρατιωτικῶν πραγμάτων, κελεύοντας καὶ ἐνακουομένους, οὐ τοσοῦτον τῇ περὶ τὸν βίον φαντασίᾳ κεκοσμημένους, καὶ ἐναντιώμασί τε καὶ κατηγορίαις καὶ βιαίοις πράγμασι περικυλιομένους καὶ ἐπιφόβως διάγοντας. τινὰς δὲ καὶ τῇ περὶ τὸν βίον ὑπάρξει συγκεκοσμημένους καὶ κτημάτων καὶ θεμελίων
10 δεσπόζοντας καὶ ἀπὸ νεκρικῶν ὠφελουμένους, περὶ δὲ τὴν δόξαν ἥττονας· ὅθεν παρὰ τὰς τοποθεσίας καὶ τὰς τῶν ζῳδίων ἐνεργείας [ἢ εὐεργείας] τὰ πράγματα κριθήσεται.

(F. 270ᵛ). Κρόνος, Ζεύς, Ἀφροδίτη ἀγαθοὶ καὶ ὠφέλιμοι περὶ τὰς πράξεις, περικτητικοί, συστάσεις ἀρρενικῶν καὶ θηλυκῶν ἀποτελοῦντες,
15 εὐεργεσίας τε καὶ φιλίας καὶ προβιβασμοὺς ἀπὸ νεκρικῶν ὑποθέσεων. περὶ δὲ τὰς συνηθείας ἐπιψόγους καὶ ἐπιφθόνους καὶ ἀνωμάλους περὶ συναρμογάς, φύξεις κατὰ καιρὸν ὑπομένοντας καὶ ἔχθρας καὶ κρίσεις. πλὴν φιλοσυνήθεις καὶ εὐσυμβιώτους, καινοτέραις καὶ πολλαῖς ἡδομένους φιλίαις, εἰς δὲ τὸν περὶ τέκνων λόγον καὶ σωμάτων οὐ διὰ παντὸς
20 εὐσταθοῦντας οὐδὲ ἀλύπως ὑπομένοντας.

Κρόνος, Ζεύς, Ἑρμῆς συσχηματιζόμενοι πρακτικοὺς ἀποτελοῦσιν οἰκονομικούς, πιστούς, προεστῶτας ὄχλων, κελεύοντας καὶ ἐνακουομένους, χρημάτων χειριστὰς καὶ λόγων ἢ ψήφων διευθυντάς. οἱ τοιοῦτοι δὲ τό τε ἐλευθέριον καὶ ὑποκριτικὸν ἦθος κεκτημένοι ὅτε μὲν πανοῦργοι
25 (f. 191ᵛ) καὶ κακοῦργοι φαίνονται, ὅτε δὲ ἀγαθοὶ καὶ καλοί· ἀλλοτρίων ἐπιθυμηταὶ γενήσονται καὶ [παραινέκται ἢ] πλεονέκται, ὧν χάριν ταραχὰς καὶ κρίσεις ὑπομενοῦσιν, καὶ χρεωστίας καὶ περιβησίας ὀχλικάς, ὅτε δὲ τῇ περὶ τὴν πρᾶξιν εὐημερίᾳ καὶ πίστει φαινόμενοι ὠφελείας μὲν ἀναδέξονται καὶ ἀπὸ μειζόνων δωρεῶν καὶ τιμῶν καταξιωθέντες καὶ
30 εὐμετάδοτον σχῆμα κτησάμενοι ἰδίους καὶ ἀλλοτρίους εὐεργετήσουσι, μυστηρίων δὲ καὶ ἀλλοτρίων πραγμάτων μεθέξουσι καὶ τὰ λοιπὰ περίεργοι, εὐνοηματικοὶ ἔσονται εἰς ἀφέλειαν τὸν τρόπον ἐμφαίνοντες.

2 χειρισαμένους διοικονομεῖν A. καλῶς om. M. 3 Ἡ τοῦ Κρόνου καὶ Διὸς καὶ Ἄρεως σύνοδος A. ἀπὸ ἀνατολῆς omis. M. συγκράσει ἀγαθῇ (om. ἀποτελοῦσιν) A. 4 οὖν omis. M. 6 ἀκουομένους A, cf. v. 22. 7 δὲ καὶ A : δὲ M. 9 κεκοσμημένους M. 10 δεσπότας A. 11 cf. extrema. περὶ A. ἢ εὐεργείαις M : omis. A. 13 Ὁ δὲ τοῦ Κρόνου καὶ Διὸς καὶ Ἀφροδίτης ὠφελείας καὶ περικτήσεις ἐν ταῖς πράξεσιν ἀποτελοῦσι καὶ συστάσεις A. 14 ἀποτελοῦντες omis. A. 15 εὐεργεσιὰς τε omis. A. ἀπὸ τε νεκρῶν εὐεργεσίας M. 16 ἐπιψόγους M : καὶ ψόγους A. ἀνωμάλας A. 17 φυλάξεις M. ἢ κρίσεις M. 18 καινοτέραις M : καὶ νητέραις A. 19 λόγων M. 20 ἐπιμένοντας A. 21 Αἱ δὲ τοῦ Κρόνου καὶ Διὸς καὶ Ἑρμοῦ συσχηματίσεις ἀποτελεῖ οἰκονομικούς A. 23 ψήφων M : ψόγων A. οἱ δὲ τοιούτοι M. 24 καὶ omis. A. 25 κακ. καὶ παν. φαινόμενοι M. ἀγαθοῦ καὶ καλοῦ A. ὅτε δὲ ... καλοὶ omis. M. 26-28 γενήσονται δὲ πλεον. καὶ ἀλλοτρ. ἐπιθυμηταί A. 26 Ἀπ παρενέκται? 27 κρίσεις M. Post ὑπομενοῦσιν finem paragraphi omisit A. χρεωστησις debitum apud Hesych. invenitur.

Digitized by Google

Κρόνος καὶ Ἄρης καὶ Ἥλιος βιαίων καὶ ἀλλοτρίων καὶ ἐπικινδύνων πραγμάτων δηλωτικοί· θρασεῖς γὰρ καὶ ἀνδρεπιβόλους ἀποτελοῦσι καὶ περὶ τὰς πράξεις κακούργους ἀθέους, προδότας, ἀνυποτάκτους, μισοϊδίους, τῶν οἰκείων μὲν χωριζομένους μετὰ δὲ ἀλλοφύλων ἀναστρεφομένους, ἐν ἐπηρείαις καὶ κινδύνοις γινομένους, ἀπὸ ὕψους ἢ τετραπόδων πτώσεις ἢ ἐμπρησμῶν φόβους ὑπομένοντας, ἐπιμόχθους περὶ τὰς ἐγχειρήσεις, μὴ φυλάσσοντας τὰ περικτώμενα, ἀλλοτρίων ἐπιθυμητάς, ἐκ κακῶν τὸν βίον πορίζοντας, ἐκτὸς εἰ μὴ στρατιωτικὸν ἢ ἀθλητικὸν τὸ σχῆμα τύχῃ· καὶ οὕτως μὲν ἐπίμοχθον, πλὴν οὐκ ἄπρακτον.

Κρόνος καὶ Ἄρης καὶ Σελήνη παραβόλους μὲν εἴς τε τὰς ἐπιβολὰς τῶν πράξεων καὶ γενναίους ἀποτελοῦσι, (f. 192) δυσεπιτεύκτους δὲ περὶ τὰς πράξεις καὶ ἐναντιώμασι περιτρεπομένους καὶ βιαίοις πράγμασι. γίνονται γὰρ βίαιοι, φιλέρημοι, κακοῦργοι, ἅρπαγες, τρόπον ληστρικὸν ἔχοντες, ἔν τε ἀπολογίαις ἢ κρίσεσι περιπίπτοντες, συνοχῶν δὲ καὶ καταιτιασμῶν πεῖραν λαμβάνοντες, εἰ μή πως φιλοπάλαιστρος ἢ φίλοπλος (f. 271ᵛ) ἡ γένεσις τύχοι, ἵνα διὰ τῆς κατοχῆς ταύτης τὸ τῆς συνοχῆς σχῆμα πληροφορηθῇ· τινὲς μὲν οὖν καὶ ἐπισινεῖς ἢ ἐμπαθεῖς γινόμενοι βίαιον τὸ τέλος ἐφέξουσι.

Κρόνος καὶ Ἄρης καὶ Ἀφροδίτη περὶ μὲν τὰς πράξεις καὶ τὰς φιλίας ἢ συναλλαγὰς κατ' ἀρχὰς ἐπιτήδειοι, ὠφελείας, δόξας καὶ συστάσεις ἀποτελοῦντες. ἐξ' ὑστέρου δὲ ἐπιτάραχοι καὶ ἐπίδικοι καθίστανται διά τινας ἐπιζηλίας καὶ προδοσίας ὧν χάριν καταιτιασμοὺς μὲν ποιοῦνται καὶ ἔχθρας πρός τε ἀρσενικὰ καὶ θηλυκὰ πρόσωπα ὑπομένουσι καὶ ψόγοις ἐπαισχροῖς ἢ μοιχείαις περιτρέπονται καὶ περιβησίας

1 Ὁ δὲ τοῦ Κρόνου καὶ Ἄρεως καὶ Ἡλίου βιαίων πραγμάτων καὶ ἐπικινδύνων δηλωτικός A. 2 γὰρ omis. M. Fort ἀνδρεπιβούλους, cf. 113, 28. 3 περὶ τὰς πράξεις ἀποτελοῦσι κακ. ἀθέους M. 4 τῶν οἰκείων A : τῆς ἰδίας (om. μὲν) M. δὲ omis. M. 6 ἢ ἐμπρησμῶν πτώσεις ἢ φόβους ὑπομ. A. 7 περὶ M : πρὸς A. περὶ κτώματα A. 8 τὸν βίον omis. M. 9 οὕτω M. Ἀπ μὴν? 11-19 Post paragraphum de ♄ ♂ ☿, p. 109, v. 15, καθυπερτέρησαι transp. A. 11 Ὁ δὲ τοῦ Κρόνου καὶ Ἄρεως καὶ Σελήνης εἴς τε τὰς ἐπιβ. καὶ πράξεις παραβ. A. ἐπιβουλὰς codd., corr. 12 ἀποτελεῖ A. 13 περὶ τὰς πράξεις omis. A. καὶ β. πραγμ. περιτρεπ. A. 14 γίνονται γὰρ cum nominativis M : ποιεῖ γὰρ cum accusativis A. βίαιοι omis. A. ἁρπ. κακ. A. 15 συνεχῶν δὲ (om. καὶ) M, cf. 109, v. 13. 16 καταιτισμῶν (sic) A. 17 φίλοπλος M : φιλόπλουτος A. γέννησις A. κατηχῆς A. 18 πληροφορηθῇ ... οὖν] τέλος λάβῃ· τινὰς δὲ A. 19 γινομένους cet. omis. A. 20 Ὁ δὲ τοῦ Κρόνου καὶ Ἄρεως καὶ Ἀφροδίτης A. τὰς alt. omis. A. 21 ἢ] καὶ A. κατ' ἀρχὰς omis. A. ἐπιτήδειος A. γὰρ δόξας A. 22 ἀποτελεῖ A. ἐσύστερον A. ἐπιτάραχος καὶ ἐπίδικος καθίσταται A. 23 ἀντιζηλίας A, fort. recte, cf. 109, 26. 23 24 ὧν ... ποιοῦνται καὶ omis. A. 24 ἀρρενικά A. Post πρόσωπα haec habet A : ὧν χάριν ἐέδους (ἐφόδους Kroll) πλείστας ποιεῖ εἰς τὸ οἰκειώσασθαι ταῦτα· τινὲς δὲ ἀθέσμοις (vel ἀθεμίτοις) μίξεις καὶ διαφόροις ἡδόμενοι ἢ ἐπ' αἰσχροῖς τισι πράγμασι καὶ ἐπιψόγοις περιτραπέντες καὶ μὴ ἐκ τούτων πρὸς <τὸ> καλὸν ἀνανευευκότες περιβησίας ἢ δειγματικοὺς (sic) ἀναδέχονται ἢ ἐν ἐπιβολαῖς τισι γινομέναις (scr. ἐπιβουλαῖς τ. γινόμενοι) ἐκ κακουργιῶν ἢ φαρμα κειῶν φόβον οὐ τὸν τυχόντα ὑπομένουσι.

Digitized by Google

καὶ δειγματισμοὺς ἀνέχονται· τινὲς μὲν οὖν ἀθεμίτοις μίξεσι καὶ ἀδιαφόροις ἀνεπιστρεπτοῦσι, συνίστορες δὲ [ἢ ἐπὶ βουλῇ] κακουργιῶν ἢ φαρμακειῶν γινόμενοι φόβον οὐ τὸν τυχόντα ὑπομένουσιν.

Κρόνος καὶ Ἄρης καὶ Ἑρμῆς κακουργίας καὶ δόλους ἀποτελοῦσι κρίσεις τε καὶ ταραχάς, γραπτῶν ἢ μυστικῶν χάριν πραγμάτων ἐν ἐγγύαις τε καὶ δανείσεσι περιτραπέντες, δι' ὧν ἀγῶνας οὐ τοὺς τυχόντας ὑπομένουσι καὶ καθαιρέσεις, ἄλλως τε μὲν δριμεῖς καὶ εὐσυνέτους περὶ τὰς πράξεις ἀποτελοῦσι, ποικίλως τὸν βίον διερχομένους καὶ ὑπό τινων κακολογουμένους διά τινας βιαίους ἢ παρανόμους πράξεις· ἔσθ' ὅτε μὲν οὖν καὶ πράξεων ἐπιμόχθων ἢ ἐπικινδύνων ἐντὸς γινομένοι καὶ ἐνδείαις περιπίπτοντες, τὴν ἰδίαν μέμφονται τύχην καὶ εἰς θεοὺς βλασφημοῦσι ἢ ἐπίορκοι καὶ ἄθεοι καθίστανται. ἐὰν δὲ καὶ ἀνοικείως πέσωσιν οἱ ἀστέρες, καὶ καταιτιασμοὺς ἢ συνοχὰς ποιεῖ. εἰ δὲ ἐν χρηματιστικοῖς τόποις ἢ ἰδίοις τύχωσι, τοὺς ὑπὲρ ἑτέρων ἀγῶνας ἀναδεχόμενοι τῶν πλείστων καθυπερτερήσουσιν ἢ καὶ ἀπὸ λόγων ἢ ψήφων ἢ στρατειῶν ὠφεληθέντες τῷ βίῳ προσαυξήσουσι.

Κρόνος καὶ Ἥλιος καὶ Ἀφροδίτη συστάσεων μεγάλων καὶ τιμῶν καὶ πράξεων δηλωτικοί, δόξης τε καὶ προφανείας καὶ προστασίας ὀχλικῆς αἴτιοι· ἀπαράμονοι δὲ περί τε τὴν κτῆσιν καὶ τὰ λοιπὰ ὑπάρχουσιν καὶ εἰς ἀνωμαλίας περιτρέπουσι καὶ τὰς φιλίας διαλύουσιν καὶ τοῦ βίου μειώσεις ἀπεργάζονται καὶ δειγματισμοὺς ἢ ζημίας ἕνεκεν θηλυκῶν προσώπων ποιοῦσιν, μυστικῶν τε πραγμάτων προδοσίας, περὶ δὲ τὰς μίξεις καὶ τὰς συνουσίας ἀστάτους καὶ ἀδιαφόρους.

Κρόνος καὶ Ἀφροδίτη καὶ Σελήνη ἀνωμαλίας καὶ ἀκαταστασίας βίου ἐπάγουσι καὶ μάλιστα εἰς τὸν περὶ γυναικὸς καὶ μητρὸς καὶ τέκνων τόπον. κακοηθείας γὰρ καὶ ἀχαριστίας ἐπιφέρουσι, ἔτι δὲ ἀντιζηλίας, στάσεις, χωρισμούς, ψόγους, δειγματισμούς, ἀθεμίτους πράξεις· περὶ δὲ τὰς πράξεις οὐκ εὐπόρους ἀλλ' εὐεπινοήτους καὶ (f. 272ᵛ) ἐν περι-

1 ἀναδέχονται codd., corr. Kroll, cf. tamen v. 15. 2 ἀνεπιστρ., vix sanum. 4-16 Ὁ δὲ τοῦ Κρόνου καὶ Ἄρεως καὶ Ἑρμοῦ κακουργίας καὶ δόλους ἀποτελεῖ A. 5 πραγμάτων χάριν A. ἐν omis. M. 6 τε ἢ M. περιτρέπει A. δι' ὧν omis. M. 6-7 οὐ τὰς τυχούσας καθαιρέσεις καὶ ἀγωγὰς ὑφίστανται, ἔσθ' ὅτε μὲν A. 8 ἀποτελεῖ A. ποικίλος A. περιερχομένους M. 8-9 καὶ ... κακολογουμένους omis. A. 10 μὲν οὖν omis. A. γινομένων A. 11 περιπίπτοντας A. μεμφομένους A. 12 θεόν A. βλασφημοῦντας A. ἐπιορκοῦντας καὶ ἀθέους καθιστᾷ A. 13 καὶ συνοχ. M. 15 ἀναδέχεσθαι ποιεῖ καὶ τοὺς πλείστους καθυπερτερῆσαι A qui cetera omis. 17 Ὁ δὲ τοῦ Κρόνου καὶ Ἡλίου καὶ Ἀφροδίτης ... δηλωτικὸς A. 19 αἴτιος ἀπαράμονος A. πρός τε M : παρά τε ut vid. A. πρὸς τὰ M. ὑπάρχει A. 20 καὶ omis. M. περιτρέπει A. καὶ τὰς φιλίας διαλύουσιν M : κ. τ. φ. δολιοῖ A, qui ante καὶ εἰς ἀν. transp. 21 ἀπεργάζεται A. δειγματισμοὺς M : δογματικοὺς A. ἢ ζημίας omis. A. 22 ποιεῖ A : omis. M : ποιοῦσιν scrip. 23 μίξεις M : πράξεις A. συνουσίας M : συνηθείας A. ἄστατος καὶ ἀδιάφορος A. 24-31 Post 110, v. 13 (adn.), γεννᾷ τούτους transp. A. 24 Ὁ τοῦ Κρόνου καὶ Ἀφροδίτης καὶ ΣελήνηςA. 25 ἐπάγει A. γυναικῶν A. καὶ μ. M: ἢ μ. A. 26 ἐπιφέρουσι M : ἐπάγει A. 27 καὶ στάσεις M. 28 καὶ περὶ τὰς πράξεις δὲ ποιοῦσιν οὐκ ἀπόρους εὐεπινοήτους δὲ M.

Digitized by Google

κτήσει γινομένους, ἀπὸ νεκρικῶν ὠφελουμένους, πλὴν οὐ φυλάσσοντας, ἐπιβουλευομένους δὲ ὑπὸ πολλῶν ἢ καὶ αὐτοὺς συνίστορας κακουργίας ἢ φαρμακείας παραινέτας δὲ γυναικῶν.

Κρόνος, Ἀφροδίτη, Ἑρμῆς συνετούς, νοεροὺς καὶ περὶ τὰς τῶν πράξεων ἀφορμὰς εὐφυεῖς καὶ εὐεπιβόλους ἀποτελοῦσιν, ἀπαραμόνους δὲ καὶ ψύχοντας τὰς πρώτας πράξεις καὶ ἑτέρων ἐπιθυμητάς, πολυΐστορας, περιέργους, ποικίλους, ἰατρικούς, ἡδομένους τῇ καινότητι καὶ μεταβολῇ καὶ ξενιτείᾳ. ἐὰν δὲ τούτων οὕτως ὄντων τὸ σχῆμα κακωθῇ ἢ καὶ ἐπιθεωρήσῃ Ἄρης, ἕνεκεν φαρμακειῶν ἢ θηλυκῶν προσώπων ἢ θανατικῶν προφάσεων ταραχαῖς καὶ κρίσεσι περιπίπτουσι ἢ καὶ ἐκ γυναικῶν ὑπομείναντες ἀδικίας μείωσιν βίου καὶ κακωτικὰς αἰτίας ἀναδέχονται. καθόλου εἰς τὸν περὶ γυναικὸς τόπον καὶ τέκνων καὶ σωμάτων ἀβέβαιοι καὶ ἐπίλυποι γενήσονται.

Ζεύς, Ἥλιος, Σελήνη ἐνδόξους, λαμπρούς, πολυγνώστους ἀποτελοῦσι δημοσίων, πολιτικῶν, βασιλικῶν πραγμάτων προεστῶτας, ἡγεμονικούς, στραταρχικούς, ἀνυποτάκτους, τυράννους, ἐπιφθόνους δὲ καὶ κακολογουμένους καὶ ὑπό τινων προδιδομένους, μισοιδίους, εὐμετανοήτους, ποικίλους καὶ ἀστάτους ταῖς γνώμαις, ὑψαύχενας, ὑπὲρ ἑαυτοὺς φρονοῦντας καὶ ἐν ὑψοταπεινώμασι γινομένους, τῇ δὲ περὶ τὸν βίον φαντασίᾳ συγκεκοσμημένους, οὐ μέντοι μέχρι τέλους ταῖς εὐδαιμονίαις ἐπιμένοντας, σφαλλομένους δὲ ἔν τισιν ἢ καὶ τὸ τέλος ὀδυνηρὸν ἔχοντας.

Ζεύς, Ἄρης, Ἥλιος ἐπιταράχους καὶ ἐπικινδύνους δηλοῦσι θερμοτέρους δὲ καὶ εὐεπιτεύκτους εἰς τὰς ἐπιβολὰς τῶν πράξεων καὶ δόξης μετέχοντες στρατιωτικούς τε καὶ ἡγεμονικούς, δημοσίων πραγμάτων προεστῶτας, ἐπισφαλεῖς τε διὰ τὸ ἐπακολουθεῖν φθόνους ἐκ μειζόνων προσώπων, ἀπειλάς, ἐπιβουλάς, οἰκείων προδοσίας, καταιτιασμούς. ἔνιοι μὲν γὰρ καὶ τῇ τῶν μειζόνων προαγωγῇ ἀπὸ μετρίας τύχης ἀναβιβασθέντες ὕστερον τὸν βίον καθῃρέθησαν.

Ζεύς, Ἄρης, Σελήνη εὐεπιβόλους, θρασεῖς, δημοσίους, πολυφίλους, ἐν προβιβασμοῖς γινομένους καὶ ἀπὸ μικρᾶς τύχης ὑψουμένους

3 φαρμακείας κατασκευάζοντας ceter. omiss. A. 4 Ὁ δὲ τοῦ Κρόνου καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ A. 5 ἀποτελοῦσιν M : ἐπιτελεῖ A. 6 ἑτέρας ἐπιθυμίας A. 7 πολυέργους A. κενότησι A. 9 καὶ omis. A. προσώπων omis. M. ἢ M : καὶ A. 10 ταραχαὶ καὶ κρίσεις A. περιπίπτοντ(ας) A. 11 ὑπομένων τὰς A. καὶ μείωσιν A. 12 ἀναδεχομένους A. καὶ εἰς A. γυναικῶν (omis. τόπον) A. 13 σωμάτων τύπον A. ἀβεβαίους ἐπιλύπους γεννᾷ τούτους A. 14-22 omis. A. 19 ὑψοταπείνωμα infra iterum invenitur. 20 συγκεκοσμημένων cod. 23 Ὁ δὲ τοῦ Διὸς καὶ Ἄρεως καὶ Ἑρμοῦ A. ἐπιτάραχος et ἐπικίνδυνος voluisse videtur A. δηλοῦσι omis. A. 24 δὲ omis A. 24-5 καὶ δόξης μεθεκτικοὺς A, qui post ἡγεμονικοὺς transp. 25 τε καὶ omis. M. 26 τε omis. M.26-27 ἐκ μειζόνων προσώπων A : μειζόνων (cet. omis.) M. 27 προδοσ. οἰκ. ἐπιβ. M. 28 ἐνίους A. τύχη προαγωγῇ M. 29 ἀναβιβάσας A. ὕστερον omis. M. τῷ βίῳ M. καθαιρεῖται A. 30-111, 6 post 111, 24, λυπουμένους transp. A. 30 Ὁ δὲ τοῦ Διὸς καὶ Ἄρεως καὶ Σελήνης A. ἐπιβόλους M.

Digitized by Google

καὶ πίστεως καταξιουμένους, στρατιωτικούς, ἀθλητικούς, ἐνδόξους, ἡγεμονικούς, ὄχλων καὶ τόπων προεστῶτας, τιμῶν καὶ ὀψωνίων μεταλαμβάνοντας ἢ ἱερωσύνης, ἐναντιώμασι δὲ καὶ κατηγορίαις περιπίπτοντας καὶ προδιδομένους ὑπὸ ἰδίων καὶ θηλυκῶν προσώπων καὶ τῶν περικτη-
5 θέντων μείωσιν ὑπομένοντας καὶ ἐξ ὑστέρου περικτωμένους ἀπὸ μυστικῶν ἢ ἀπροσδοκήτων πραγμάτων.

Ζεύς, Ἄρης, Ἑρμῆς πρακτικούς, θερμούς, κεκινημένους ἀποτελοῦσιν, ἐν δημοσίοις τόποις ἢ στρατιωτικοῖς τάγμασιν (f. 272r) ὀψωνίων μεταλαμβάνοντας ἢ βασιλικὰ [1] ἢ πολιτικὰ πράσσοντας, ἀνωμάλους δὲ
10 περὶ τὸν βίον καὶ τῶν περικτωμένων ἀναλωτάς, εὐνοήτους καὶ εὐπίστους οἰκονόμους, ῥᾳδίως τὰ ἁμαρτήματα διορθοῦντας καὶ τὰς αὐτῶν αἰτίας ἑτέροις ἐπιφέροντας, κακαλογουμένους δὲ καὶ ἐν ἐναντιώμασι περιπίπτοντας, τινὰς μὲν οὖν ἀθλητικούς, στεφηφόρους ἢ καὶ ἀσκητὰς σωμάτων, πολυΐστορας, φιλεκδημητὰς ἢ ἐπὶ ξένης πορίζοντας, τῶν δὲ
15 ἰδίων ἀστοχοῦντας.

Ζεύς, Ἄρης, Ἀφροδίτη πολυφίλους μὲν καὶ φιλοσυνήθεις ἀποτελοῦσι, συστάσεών τε μεγάλων καὶ ὠφελειῶν καταξιουμένους, ἐν προκοπαῖς γινομένους, ὑπὸ γυναικῶν προβιβαζομένους· τινὰς μὲν οὖν ἀρχιερατικούς, στεφηφόρους, ἀθλητικοὺς ἢ ἱερῶν προεστῶτας ἢ
20 ὄχλων, ἡδοναῖς ἐξυπηρετουμένους καὶ κατὰ καιρὸν ἀστάτως καὶ ἀνωμάλως καὶ ἐπιψόγως διάγοντας καὶ ἀδιαφόρους περὶ τὰς συνελεύσεις, (f. 192v) δειγματισμοὺς ὑπομένοντας καὶ προδοσίας, καινοτέραις ἡδομένους ἐπιπλοκαῖς, χωρισμούς τε γυναικῶν ὑπομένοντας, εἴς τε τὸν περὶ τέκνων καὶ σωμάτων τόπον λυπουμένους.

25 Ζεύς, Ἥλιος, Ἑρμῆς πρὸς μὲν τὰς ἐπιβολὰς τῶν πράξεων εὐκατορθώτους καὶ πολυφίλους ἀποτελοῦσι, πίστεων, τιμῶν, οἰκονομιῶν καταξιουμένους συστάσεών τε μειζόνων καὶ προκοπῶν ἢ ἀπὸ μικρᾶς

1 κατηξιωμένους A. 2 καὶ καὶ ὀψ. A. 7 Ὁ δὲ τοῦ Διός καὶ Ἄρεως καὶ Ἑρμοῦ A. ἀποτελεῖ καὶ A. 9 πράττοντας A. 10 εὐνοήτους εὐπ. καὶ οἰκονομικούς A fors. recte. 11 αὐτῶν scr. : αὐτῶν A : ἄλλων M. 12 ἑτέρως A. 13 περιπίπτοντας M : περιπλοκάς A. 13 στεφανηφόρους A. καὶ omis. A. 14 φιλεκδημητὰς M : φιλεκδημίας A. πορίζοντας ie. victum invenientes, cf. 115, 6. 16 Ὁ δὲ τοῦ Διός καὶ Ἄρεως καὶ Ἀφροδίτης A qui post καθηρέθησαν p. 110, v. 29 transp. μὲν omis. A. πολυσυνήθεις A. ἀποτελεῖ A. 17 μειζόνων M. 18 ὑπὸ ... προβιβ. omis. A. 19 στεφανηφόρους A. ἢ ante ὄχλ. omis. M. 20 ἡδονῶν ut vid. A. ἐξυπερετουμένων (ους superscr.) M. 20-21 ἀστάτως καὶ ἀνωμάλως διάγοντας ἐπιφόρους δε καὶ ἀδιαφόρους M: ἀστάτους καὶ ἀνωμάλους καὶ ἐπιψόγως διάγοντας καὶ ἀδιαφόρως A. 22 δειγμ. προδοσίας ὑπομεν. M. προδοσίαις A. 23-24 καινοτέραις ... ὑπομένοντας post λυπουμένους transp. M. 24 καὶ εἰς τὸν τέκνον A. λυπομένους A. 25 ♃ ☿ ☉ M : Ὁ δὲ τοῦ Διός Ἡλίου καὶ Ἑρμοῦ A. 26 ἀποτελεῖ A. οἰκονομικῶν M. 27 συστάσεων ... ἀναβιβαζομένους omis. A.

[1] Vide genituram regis Antiochi, quae Iovem Martem Mercurium in signo Leonis coniunctos monstrat, apud Puchstein, *Reise in Nord-Syrien*, p. 329 et 335, cf. Bouché-Leclercq, *Astrol. grecque*, p. 439.

Digitized by Google

τύχης ἀναβιβαζομένους καὶ συγκοσμουμένους, πρὸς δὲ τὰς περικτήσεις ἀπαραμόνους καὶ εὐαναλωτὰς ἢ ἐνδεεῖς κατά τινας χρόνους γινομένους καὶ μυστικῶς πολλὰ διαπρασσομένους· οὐκ ἀβίους δὲ ἀλλ' ἐξ ἀδοκήτων μεγάλως ὠφελουμένους.

Ζεύς, Ἑρμῆς, Σελήνη ἀγαθοὶ περικτητικοὺς καὶ εἰς τὰς πράξεις εὐεπιβόλους, συλλεκτικοὺς δωρεῶν καὶ πίστεων μεταλαμβάνοντας, μουσικούς, συνετούς, λογικούς, χρημάτων καὶ παραθηκῶν φύλακας, δωρεῶν καὶ πίστεων καταξιουμένους, ἀπὸ λόγων καὶ ψήφων ἀναγομένους, δανειστικούς, φορολόγους, μισθωτάς, πολυφίλους, πολυγνώστους, ἐπιτροπικούς, διοικητὰς πραγμάτων, εὐμεταδότους· τινὰς μὲν οὖν ἀθλητικούς, στεφηφόρους, τιμῶν εἰκόνων ἀνδριάντων καταξιουμένους. ἐὰν δέ πως καὶ ἐν χρηματιστικοῖς τόποις τύχωσι, θησαυρῶν εὑρετὰς καὶ ναῶν, ἱερῶν ἐπιστάτας ποιοῦσιν, ἀνακτίσουσι καὶ καταφυτεύσουσι καὶ τόπους συγκοσμήσαντες ἀειμνήστου φήμης τεύξονται.

Ζεύς, Ἀφροδίτη, Ἑρμῆς ἀγαθοὶ περίκτησιν βίου καὶ εὐημερίας πράξεων ἀποτελοῦντες· συνετοί, ἁπλοῖ, εὐμετάδοτοι, ἡδεῖς, φιλοσυμβίωτοι, εὐφραντικοί, παιδείας καὶ μουσικῆς μέτοχοι καθάριοι, εὐπρεπεῖς, τιμῆς καὶ δόξης καταξιούμενοι, μετὰ μειζόνων ἀναστρεφόμενοι, πίστεων καὶ οἰκονομιῶν μεταλαμβάνοντες, συγκοσμούμενοι τῷ βίῳ (f. 273r) φιλοτρόφοι τε καὶ φιλασκηταὶ ὄντες σωμάτων κυριεύουσι καὶ ἐν τέκνων μοίραις ἀνατρέφουσι, τινὰς καὶ εὐεργετοῦσι καὶ ἀπὸ θεῶν τὰ μέλλοντα προγινώσκουσι φιλοθέοι ὑπάρχοντες, εἰς δὲ τὸν περὶ γυναικὸς καὶ τέκνων τόπον ἄστατοι ἢ ἐπίλυποι γενήσονται.

Ζεύς, Ἀφροδίτη, Ἥλιος εὐφαντασιώτους μὲν καὶ ἐπιδόξους ποιήσουσι, μικρολόγους δὲ καὶ ἀνωμάλους ταῖς γνώμαις καὶ ὑψαύχενας, ὅτε μὲν παρεκτικοὺς καὶ εὐεργετικούς, εὐμετανοήτους δέ, ὅτε δὲ ταῖς

1 συγκεκοσμημένους M. ἐπικτήσεις A. 2 εὐαλώτους M. ἐνδεῖς M. γινομένους omis. A. 3 ἀπροσδοκήτων A. 4 μεγάλως A : καὶ μειζόνων M. 5-13 post καὶ ψεύδους 113, 19 transp. A. Ὁ δὲ τοῦ Διὸς καὶ Ἑρμοῦ καὶ Σελήνης A. ἀγαθοὺς M : omis. A. καὶ omis. A. 6 δωρεῶν ... μεταλαμβάνοντας omis. A. 7 μυστικοὺς A. λογικῶν (ους superscr.) M. καὶ omis. M. Post φύλακας] δωρεῶν καὶ πίστεων καταξιουμένους A. 8 Cum ἀναγομένους, cf. 114, 26. 9 μισθώτους M. 10 στεφηφόρους post ἐπιτροπικούς transp. A. 11 ἢ ἀνδριάντων A. 12 τόποις omis A. 13 ἱερῶν omis A. ἐπιστάτας omis. M spatio 12 litt. relicto. ἀνακτίζοντας καὶ καταπιστεύοντας A. 14 συγκοσμοῦντας καὶ ἕνεκα τούτων ἀειμνήστου φήμης τυγχάνοντας A. 15 Ὁ δὲ τοῦ Διὸς καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ (omis. ἀγαθοὶ) A. περικτήσεις M. 16 ἀποτελεῖ A. συνετοὺς ἁπλοὺς ac sic deinceps A. 17παιδ. κ. μουσ. μετόχους, καθαρίους A : παιδείας μέτοχοι καὶ μούσης καθάριοι M. 19 καὶ πίστεων M. συγκοσμοῦντες M : συγκοσμουμένους A. 20 φιλοτρόφοι M : φιλοφίλους A. ὄντες omis. A. κυρίους A. 21 τέκνοις A. ἀνατρέφοντας A. εὐεργετοῦντας A. 22 θεοῦ A. προγινώσκοντας καὶ φιλοθέους ὑπάρχοντας A. 22-23 εἰς δὲ τοὺς περὶ γυναικῶν καὶ τέκνων τόπους ἀστάτους ἢ ἐπιλύπους (omis. γενησ.) A. 24-113 v. 6 post πραγμάτων p. 111, 16 transp. A. 24 Ὁ δὲ τοῦ Διὸς καὶ Ἡλίου καὶ Ἀφροδίτης ... ποιεῖ A. 25 καὶ ante ὑψαυχ. omis. A. 26 παρεκτικοὺς M : περικτήκους A.

Digitized by Google

ἑτέρων δόξαις καὶ περικτήσεσιν ἐπαιρομένους καὶ ἀπὸ μικρᾶς τύχης ἀναβιβαζομένους. γίνονται δὲ ἀρχιερεῖς στεφηφόροι, ἀρχικοί, ἡγεμονικοί, δημοσίων πραγμάτων προεστῶτες καὶ ὄχλων ἀφηγούμενοι, τιμῶν ἢ δωρεῶν καταξιοῦνται καὶ τῷ βίῳ συγκοσμοῦνται, περὶ δὲ τὰς
5 συνελεύσεις ἀθέμιτοι ἢ ἐπίψογοι γενήσονται. ἐὰν δέ πως ἀνατολικοὶ ἢ ἐν χρηματιστικοῖς τόποις τύχωσι, καὶ ἐπὶ γυναικὶ καὶ τέκνοις εὐφρανθήσονται.

Ζεύς, Ἀφροδίτη, Σελήνη πρακτικούς, ἐνδόξους ἀποτελοῦσιν, ἀρχιερατικούς, στεφηφόρους ἱερῶν καὶ ναῶν προεστῶτας, δωρηματικούς
10 τε καὶ φιλοδόξους, ὄχλων ἡδοναῖς ἐξυπηρετοῦντας, πόλεων τε καὶ χωρῶν πίστεις ἀναδεχομένους καὶ τιμῶν καταξιουμένους καὶ εὐφημουμένους καὶ ἀντιζηλουμένους ἀπό τε οἰκείων καὶ φιλικῶν προσώπων, ἔχθρας καὶ ἀντικαταστάσεις ὑπομένοντας, εἰς δὲ τὸν περὶ γυναικὸς καὶ συνήθειας τόπον ἀστάτους καὶ φιλονείκους μετὰ ζηλοτυπιῶν καὶ χωρισμῶν
15 καὶ ἀνάγκης διάγοντας, μετεώρους, ἔσθ' ὅτε μὲν οὖν καὶ συγγένεσιν συνέρχονται καὶ οὐδὲ οὕτως ἀτάραχον τὴν συνοίκησιν διαφυλάσσουσιν· ἐν μετουσίαις γινομένους· τὴν μέντοι περὶ τὸν βίον συνουσίαν εὐφαντασίωτοι γενήσονται, οὐ τοσοῦτον ἀληθείας ἀνάμεστοι ὅσον πλάνης καὶ ψεύδους.

20 Ἀφροδίτη, Ἥλιος, Σελήνη ἐνδόξους μὲν καὶ πρακτικοὺς ἀποτελοῦσιν, ἐν φαντασίαις γινομένους, κακοήθεις δὲ καὶ ἐπιψόγους, ὑπὸ τῶν πλείστων διαβαλλομένους καὶ φθονουμένους ἀπὸ μειζόνων καὶ φιλικῶν προσώπων, ἐν προκοπῇ δὲ καὶ κτήσει γινομένους καὶ τῇ τύχῃ (f. 194) ὑψουμένους, ἀνωμάλους δὲ εἰς τὸν περὶ γυναικὸς καὶ τέκνων λόγον·
25 ἄλλως δὲ φιλόφιλοι ἐν ξενιτείαις γινόμενοι καὶ ἐπὶ ξένης εὐτυχοῦντες.

Ἀφροδίτη, Ἄρης, Σελήνη οὐκ ἀπόρους μὲν οὐδὲ ἀπράκτους ποιοῦσι, ποικίλους δὲ καὶ ἀστάτους ταῖς γνώμαις, μεγαλοψυχεῖς, ἀκρίτως ἀναλίσκοντας καὶ μὴ ἐπιθέντας τέλος τοῖς πράγμασιν, ἀνδρεπιβόλους, καταφρονητάς, πλανήτας, θρασεῖς, δημοσίους, στρατιωτικούς, ἀδια-

2 ποιεῖ δὲ cum accusativis A. 4 καὶ δωρ. A. καταξιωμένους A. συγκοσμουμένους A. 5 ἐπιψόγους ἢ ἀθεμήτους (sine γενησ.) A. 6 εὐφραινόμενους A. 8-19 Post ἢ ἐπιλ. γενησ. p. 112, 23, praebet A. 8 Ὁ δὲ τοῦ Διὸς καὶ Ἀφροδίτης καὶ Σελήνης A. ἀποτελοῦσιν omis. A. 10 τε καὶ omis. M. ποεῖ post φιλοδόξ. add. A. ὄχλων ... ἐξυπερ. omis. A. ἢ χωρῶν codd. 13 εἰς] εἰ A. γυναικῶν A. 15 μετεώρους omis. A. οὖν omis. A. 16 συνερχομένους A. τὴν οἴκησιν ἀταράχως διαφυλάσσοντας, τῇ δὲ περὶ τὸν βίον συνουσίᾳ εὐφαντασιώτους οὐ A. 18 ἀναμέστους A. 19 καὶ ψεύδους omis M. 20-25 post ἐπιψόγους δέ 114, 16 transp. A. 20 Ὁ δὲ τοῦ Ἡλίου καὶ Ἀφροδίτης καὶ Σελήνης A. ἀποτελεῖ A. 21 γινομένους A. τῶν omis A. 22 μεγάλων A. 23 προκοπαῖς A. ψυχῇ A. 24 γυναικῶν A. 25 Αn ἄλλους δὲ? φιλόφιλοι M : φιλοσόφους A. ξενιτείᾳ A. γινομένους κἀκεῖσε εὐτυχοῦντας A. 26-114, 4 Post διαψευδομένους 115, 2 transp. A. 26 Ὁ δὲ τοῦ Ἄρεως καὶ Ἀφροδίτης καὶ Σελήνης A. ποιεῖ A. 27 μεγαλοτυχεῖς A. ἀκρίτους M 28 μὴ omis. M. ἐπιτιθέντας M. ἀνδρεπιβόλους, cf. ad 108, 2. 29 πλανήτας omis. A. στρατικούς A.

Digitized by Google

φόρους ταῖς χρήσεσιν ἐπί τε ἀρρενικῶν καὶ θηλυκῶν, (f. 273r) κακολογουμένους δὲ καὶ ἐν ἐπηρείαις καὶ κρίσεσι γινομένους καὶ τὰς φιλίας καὶ ἔχθρας μετατιθέντας καὶ τῷ βίῳ σφαλλομένους διὰ τὰς τῶν πανούργων ἀφορμάς.

Ἑρμῆς, Ἥλιος, Σελήνη σεμνούς, καθαρίους, εὐυποκρίτους, οἰκονομικούς, πίστεων ἢ τάξεων μεταλαμβάνοντας, εὐεργετικούς, μυστηρίων μετόχους, κατορθωτὰς πραγμάτων, πλείστην φαντασίαν τῆς ὑπάρξεως κεκτημένους· γίνονται δὲ καὶ σωματοφύλακες, εἰσαγγελεῖς, ἐπάνω χρημάτων γραμμάτων ψήφων τεταγμένοι· τῶν δὲ τοιούτων καὶ ὁ λόγος ἐξισχύσει πρὸς συμβουλίαν ἢ διδαχήν.

Ἑρμῆς, Ἥλιος, Ἀφροδίτη πολυμαθεῖς, πολυπείρους, ἀγαθούς, τεχνῶν καὶ ἐπιστημῶν προηγουμένους καὶ πίστεων καὶ τάξεων καταξιουμένους, εὐμετανοήτους ἐν τοῖς διαπρασσομένοις καὶ κατὰ καιρὸν ἀνωμαλοῦντας, πολυκινήτους δὲ ἢ ἐν ταῖς καινοποιΐαις τῶν πράξεων ἡδομένους, πολυφίλους, πολυγνώστους, καὶ ἀπὸ μειζόνων ἐν προκοπῇ γινομένους καὶ τῷ βίῳ καὶ τῇ δόξῃ συγκοσμουμένους, ἐπιψόγους δέ.

Ἑρμῆς, Σελήνη, Ἀφροδίτη ἀγαθούς, εὐσυμβιώτους, ἁπλοῦς, μεταδοτικούς, φιλογέλωτας, πολιτικούς, παιδείας ἢ ῥυθμῶν μετόχους, μηχανικούς, πολυπείρους, κοσμίους, καθαρίους, εὐφυεῖς, μυστικῶν πραγμάτων συνίστορας, ὑπηρετικούς, ζηλουμένους καὶ φθονουμένους, ἀνωμάλους δὲ περὶ τὸν βίον καὶ ἀδιαφόρους περὶ τὰς τῶν θηλυκῶν καὶ ἀρρενικῶν ἐπιμιξίας, εὐπόρους δὲ καὶ συλλεκτικούς.

Ἑρμῆς, Ἄρης, Ἀφροδίτη συσχηματιζόμενοι ὠφελείας καὶ δόξας καὶ πράξεις ἀποτελοῦσι, περί τε τὰς δόσεις καὶ λήψεις καὶ τὰς λοιπὰς ἐγχειρήσεις εὐεπιβόλους καὶ οἰκονομικούς, πανούργους δὲ καὶ πολυπείρους, ἀπὸ γραμμάτων ἢ ἀσκήσεων ἀναγομένους· ποιοῦσι δέ τινας ἐπιψόγους, πολυαναλώτους, εὐμεταδότους, καὶ ἐν ἐγγύαις ἢ δάνεσι περικυλιομένους καὶ ἀδικοῦντας, νοσφιστὰς χρημάτων ἀλλοτρίων,

2 δὲ omis. A. 3 μετατιθέμενοι A. μετατιθέντας διὰ τὰς τῶν πανούργων ἀφορμάς, τῷ δὲ βίῳ σφάλλοντες M. Fort. ἐφορμάς 5-10 post. εὐτυχοῦντες 113, 25, colloc. A. 5 Ὁ δὲ τοῦ Ἡλίου καὶ Ἑρμοῦ καὶ Σελήνης A. καθαρούς M. 6 πίστεων... εὐεργετικούς omis. A, qui deinceps accusativis utitur. 8 ἰσαγγέλους A. 10 ἐπισχύσει M. πρὸς συμβουλὰς καὶ ἡ διδαχή A. 11-16, post ἀστοχοῦντας 116, 3 transp. A. 11 Ὁ δὲ τοῦ Ἡλίου καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ A. 13 διαπραττομένοις A. καὶ omis M. 14 ἢ] fort καὶ. ἐπὶ A. 15 μειζόνων M : μεγάλων A. προκοπαῖς A. 17-22 post ἢ διδαχήν v. 10 transp. A. 17 Ὁ δὲ τῆς Ἀφροδίτης καὶ Ἑρμοῦ καὶ Σελήνης A. 21 καὶ ἀνωμ. περὶ A. περὶ M : πρὸς A. τὰς τῶν γυναικῶν καὶ ἀνδρῶν M, at cf. supra v. 1. 23-115, 2 post ὑπόστασιν φυλάσσωσιν p. 115, v. 8, transp. A. 23 Ὁ δὲ τοῦ Ἄρεως καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ (omis. συσχ.) A. δόξης καὶ πράξεως ἀποτελεστικός A. 24 τὰς omis. A. 25 πανοῦργος A. πολύπειρος A. 26 ἀναγομένους M : ἀνάγνουσα A, cf. 112, 8. ποιοῦσ. δέ τινας ser. : ποιεῖ δέ τινας A : omis. M. 27 ἐπιψόγους omis. A. πολυαλώτους A. εὐμεταδότους omis. A. καὶ ἐν omis. M. καὶ δάνεσι περικυλ. καὶ ἀδικ. M : ἢ δανείσεσι περιπίπτοντας A. 28 χρημάτων omis. A.

Digitized by Google

παραινέτας ἐπιχαρίτως διαψευδομένους, εὐπόρους δὲ καὶ βασκάνους, εὐμετανοήτους ἐν τοῖς διαπρασσομένοις.

Ἄρης, Ἥλιος, Σελήνη θρασεῖς, ἐπάνδρους, τολμηρούς, πρακτικοὺς ἀποτελοῦσι· γίνονται γὰρ ἀθλητικοί, στρατιωτικοί, ἡγεμονικοί, ἀπὸ βιαίων καὶ ἐπιφθόνων πραγμάτων καὶ ἐπιμόχθων τεχνῶν ἢ σκληρουργίας πορίζοντες, ἐναντιώμασι δὲ καὶ ἐπικινδύνοις πράγμασι περιτρεπόμενοι καὶ ἐν μειζόνων ἔχθραις καὶ αἰτίαις γίνονται, ἐκτὸς εἰ μή πως ἀγαθοποιοὶ σχηματισθέντες ἀκαθαίρετον τὴν ὑπόστασιν φυλάξωσιν.

Ἄρης, Ἥλιος, Ἀφροδίτη πολυφίλους καὶ πολυγνώστους ἀποτελοῦσι, συστάσεων καὶ τιμῶν καταξιουμένους, εὐπόρους μὲν καὶ φιλοσυνήθεις, ἐπιψόγους δὲ καὶ πολυθρυλλήτους, ἀνεπιμόνους δὲ ταῖς φιλίαις καὶ ἀστάτους ταῖς πράξεσι, πολλῶν ἐπιθυμητάς, πολυδαπάνους, κακωτὰς γυναικῶν, εὐεπηρεάστους, ἐναντιώμασι δὲ καὶ ἔχθραις περιτρεπομένους διά τινας τοῦ λογισμοῦ ἀκρισίας.

(F. 223ᵛ) Ἄρης, Ἥλιος, Ἑρμῆς πολυπείρους, ἐπινοηματικοὺς περὶ τὰς τῶν πράξεων ἀφορμὰς ἀποτελοῦσι, πολυμερίμνους δὲ καὶ δυσεπιτεύκτους πρὸς τὰς τῶν λογισμῶν ἐπιθυμίας, ἀπροσδοκήτως δὲ περιγινομένους· ὅθεν οἱ τοιοῦτοι ἀνώμαλοι ταῖς γνώμαις γίνονται, τολμηροί, πρακτικοί, ὀξύθυμοι, πρὸς τοὺς ἐχθροὺς φερόμενοι, αἰτίας δὲ κακωτικὰς αὐτοῖς ἡ βλάβας ἐπεισάγοντες μετανοοῦσι· ἔσθ' ὅτε δὲ καὶ δειλὸν καὶ εὐκαταφρόνητον ἦθος ἀναλαμβάνοντες, ἐγκρατεῖς καὶ ὑποκριτικοὶ καὶ ἥττονες πρὸς οὓς οὐκ ἐχρῆν καθίστανται, ἀνωμάλως δὲ τὰ πλεῖστα περὶ τὸν βίον διάγοντες ἢ καὶ (f. 193ᵛ) ὑποχείριοι γινόμενοι τὴν ἰδίαν μέμψονται τύχην.

Ἄρης, Σελήνη, Ἑρμῆς ἐντρεχεῖς μηχανικούς, ῥᾳδίως περὶ τὰς πράξεις ὁρμωμένους καὶ πολυκινήτους, μετὰ τάχους πράττειν θέλοντας, περιέργους, ἀποκρύφων μύστας καὶ ἀπορρήτων συνίστορας πραγμάτων, κακωτάς, βιαίους, ἀνυποτάκτους, ἀλλοτρίων ἐπιθυμητάς, αἰτίαις καὶ

1-2 παραινέτας ... διαπρασσ.] καὶ ἀδικητὰς καὶ βασκάνους καὶ χαρίτων διαψευδομένους A. 3-8 Post μεμφομένους τύχην v. 24 transp. A. 3 Ὁ δὲ τοῦ Ἄρεως Ἡλίου καὶ Σελήνης A. 4 ἀποτ. γιν. γὰρ omis A, qui deinceps accusativis utitur. καὶ στρατ. M. ἡγεμονικούς A : omis. M. 5 ἀπὸ βιαίων πραγμάτων ἐπιμόχθων M. σκληρουργίας M, cf. supra, p. 90, v. 21 : κληρουργίας A. 6 πορίζοντες] cf. supra, 111, 14. ἐπικινδύνων πραγμάτων A. 7 γινομένους A : γίνονται M. 8 καὶ ἀκαθ. A. φυλάσσωσιν A. 9-24 Post τεύξονται p. 112, v. 14 praebet A. 9 Ὁ δὲ τοῦ Ἄρεως καὶ Ἡλίου καὶ Ἀφροδίτης A. ἀποτελεῖ A. 10 καταξιοῖ A. μὲν καὶ ... δὲ omis. M. 11 καὶ ἀνεπιμ. (sine δὲ) A. 13 εὐεπηρεάστους omis. M. δὲ omis. M. 14 διὰ τὰς ἀκρίτας τῶν λογισμῶν αἰτίας M. 15 Ὁ δὲ τοῦ Ἄρεως καὶ Ἡλίου καὶ Ἑρμοῦ A. 16 περὶ τὰς πράξεις ἀποτελεῖ A. 18 ὅθεν τοὺς τοιούτους ἀνωμάλους ... ποιεῖ A qui deinde accusat. usurpat. τολμηροὺς καὶ ὀξύθ. A. 20 μετανοεῖν ποιεῖ A. δὲ δῆλον A. 22 ἐχ. καθιστᾶ τούτους A. 23 περὶ τὰ πλεῖστα τοῦ βίου M. ἢ omis. M. διὰ τὴν A. 24 μεμφομένους A. 25-116, 3 post πανούργων ἀφορμάς, p. 114, v. 4, transp. M. 25 Ὁ δὲ τοῦ Ἄρεως καὶ Ἑρμοῦ καὶ Σελήνης A. περὶ] Fort. ἐπὶ vel πρός. 26 καὶ omis. A. Post θέλοντας] ἐκκακωτικοὺς add. A. Possis ἐγκρατικούς.

Digitized by Google

βλάβαις περιπίπτοντας κρίσεσί τε καὶ ἐπικινδύνοις πράγμασι, γραπτῶν τε καὶ ἀργυρικῶν χάριν ταραχὰς ὑπομένοντας, πλὴν εὐποροῦντας καὶ πολυδαπάνους ἀποτελοῦσι, τῷ δὲ βίῳ ἀστοχοῦντας.

Καὶ ταῦτα μὲν ὡς πρὸς μονοειδεῖς διαστολὰς καὶ καθολικὰς προεθέμεθα. συνεπικιρναμένων δὲ καὶ ἑτέρων συγκράσεων ἤτοι κατὰ παρουσίαν ἢ κατὰ συμμαρτυρίαν κατὰ τὴν τοῦ ἀστέρος φύσιν καὶ τοπικὴν διάγνωσιν ἐναλλοιωθήσεται καὶ ἡ τῶν πραγμάτων δύναμις. οὐκ ἐβουλήθην γὰρ ἐπὶ πολὺ καὶ πολυμερῶς τὰς συγκράσεις συγγράφειν διὰ τὸ καὶ τοὺς παλαιοὺς περὶ τούτων προτεταχέναι· εὐσύνοπτος οὖν ὁ τρόπος κριθήσεται τοῖς τε νοῦν ἔχουσιν ἐκ τῆς ἑκάστου ἀστέρος καὶ ζῳδίου φυσικῆς ἐνεργείας· πρόκειται δὲ ἐν τῷδε τῷ συντάγματι ὅθεν συγκρίνειν δεήσει τοῦ ἀστέρος τὴν τοποθεσίαν ὅπως ἐσχημάτισται, ἤτοι ἐπίκεντρος, ἢ ἀνατολικοῦ ἢ δυτικοῦ κλήρου, ὡροσκόπου, τριγώνου κύριος· ὁμοίως δὲ καὶ τὰ ζῴδια ἐν οἷς τετεύχασιν ἤτοι οἰκεῖα ἢ ἰδίας αἱρέσεως, ὑπὸ τίνων δὲ μαρτυρούμενοι· οὕτως γὰρ βέβαια τὰ ἀποτελέσματα ἀποφαίνεται· ἐὰν δὲ ἐν ἀχρηματίστοις τόποις καὶ ζῳδίοις ἀνοικείοις ἐκπέσωσιν καὶ παρ' αἵρεσιν, ἥττονα καὶ τὰ τῆς πράξεως καὶ τὰ τῆς τύχης γενήσεται.

<Περὶ σπορᾶς.>

Τούτων δὲ οὕτως ἐχόντων λεκτέον καὶ περὶ τῆς σπορᾶς παρέντας τὴν πλοκὴν καὶ τὸν φθόνον θεμένους. τριῶν ὅρων ὑπαρχόντων ἐλαχίστου τε καὶ μέσου καὶ μεγίστου ἡ ἑκάστου ὑπεροχή ἐστι μοιρῶν ιε'· ἃς ἐὰν προσθῶμεν ἢ ἀφέλωμεν ἑκάστου ὅρου ὁ ἕτερος ἔσται καταληπτός· καὶ ὁ μὲν <ἐλάχιστός> ἐστιν ἡμερῶν σν', ὃς ἀποδειχθήσεται μετὰ τὴν δυτικὴν μοῖραν, τουτέστιν ἐν τῇ ἐπικαταδύσει τῆς Σελήνης οὔσης, ὁ δὲ μέσος σογ', ὃς πρόδηλός ἐστιν ἐν τῷ ὡροσκόπῳ τῆς Σελήνης οὔσης, ὁ δὲ μέγιστος σπη' ὃς πρόδηλός ἐστι τῆς Σελήνης οὔσης ἐν τῇ δύσει. τὰς γὰρ ιε' μοίρας τῆς ὑπεροχῆς, ἐὰν μετρήσωμεν εἰς τὸ ἡμισφαίριον, ὅ ἐστιν ἀπὸ ὡροσκόπου ἐπὶ δύσιν, εὑρίσκομεν ἑκάστου ζῳδίου ἐπιβαλλούσας μοίρας β' ἥμισυ. ἔστω οὖν ὡροσκοπεῖν Καρκίνον, δύνειν Αἰγόκερων, ἐὰν εὑρεθῇ ἡ Σελήνη ὑπὲρ τὸ τῆς δύσεως κέντρον, ἔστι ἡ σπόρα σν'· ἐὰν δὲ Ὑδροχόῳ, σξ' ἥμισυ· ἐὰν δὲ Ἰχθύσι,

1 πράγμ. ἐπικ. A. 2 αἰτίας καὶ βλάβας ὑποπίπτοντας A. 3 πλὴν πολυταράχους καὶ τῷ βίῳ ἀστοχ. A, ceteris omissis. 5 συγκιρναμένης δὲ καὶ ἑτέρας συγκράσεως M. 6 ἢ συνεπιματυρίαν A. κατὰ τὴν φ. καὶ τοπ. δ. (om. ἀστέρος) A : κατὰ τὴν τοῦ ἀστέρος φύσιν (om. τοπ. διάγν.) M. 7-11 οὐκ ... ἐνεργείας omis. A. 8 πολυμερῶν M. 12 τὰς τῶν ἀστέρων τοποθεσίας ὅπως ἐσχηματισμέναι εἰσίν A. 12-14 ἤτοι ... κύριος omis. A. 13 ἢ δυτικοῦ omis. M. 14 δὲ omis. A. ἔτυχον A. 15 καὶ ὑπὸ (sine δὲ) A. καὶ οὕτως (om. γὰρ) M. τὰ om. M. 16 ἀποφαίνεσθαι A. εἰ A. καὶ Ζ. ἀνοικ. omis. M. 17 ὧσιν A. καὶ παρ' αἵρ. om. M. τὰ τῆς τύχ. καὶ τ. πράξ. A. 18 γενήσεται M : προλέγειν A. 19 Incipit caput novum Περὶ σπορᾶς. De re, cf. Censorin., *De die nat.*, 8. 21 ὥρων (o superscr.) cod. Ὅρος est partus gerendi tempus. 23 ἔσται scrips. : ἔστω cod. 24 ἐλάχιστος] lac. IV litt. cod.

Digitized by Google

διακοσίων ξγ'· ἐὰν δέ ἐν Κριῷ, σξε' ἥμισυ· ἐὰν δὲ ἐν Ταύρῳ, σξη'· ἐὰν δὲ ἐν Διδύμοις, σο' ἥμισυ· ἐὰν δὲ ἐν Καρκίνῳ ἐν τῷ ὡροσκόπῳ, σογ'· ἐὰν δὲ Λέοντι, σοε' ἥμισυ· ἐὰν δὲ ἐν Ζυγῷ (f. 274r), σπ' ἥμισυ· ἐὰν δὲ Τοξότῃ, σπε' ἥμισυ· ἐὰν δὲ Αἰγόκερῳ, σπη'· ἔστω δὲ ἐπὶ ὑποδείγματος ἔτους η'
5 Νέρωνος Μεσορὶ ς' εἰς τὴν ζ', ὥρᾳ ια', Σελήνη Ζυγῷ, ὡροσκόπος Καρκίνῳ. ἐπεὶ οὖν ἡ Σελήνη ἐν τῷ κέντρῳ εὑρέθη, ἐξετράπη ἡ γένεσις δι' ἡμερῶν σπ' καὶ ὡρῶν ιβ', ταύτας οὖν ἀφαιρεῖν δεήσει ἀπὸ τῶν τοῦ ἐνιαυτοῦ τξε' δ' ἡμερῶν, λοιπαὶ πδ', ὥραι ιβ'· τὰς οὖν πδ' ἐὰν προσθῶμεν τῇ τοῦ Μεσορὶ ς', ἔσται Φαωφὶ κ' ὥραι κγ', ἥτις ἔσται ἡ σπορὶμὴ
10 ἡμέρα. κτλ.

Post pauca invenitur aliud exemplum : Ἔστω δὲ πάλιν ἐπὶ ὑποδείγματος, ἵνα σαφέστερον οἱ ἐπιτυχάνοντες τὴν ἐπίγνωσιν λαμβάνωσιν, Ἀδριανοῦ ἔτος ι', Μεχὶρ ιγ' εἰς τὴν ιδ', ἡμερινῆς ὥρας α'... F. 274v tertium exemplum profertur : Ἔστω δὲ καὶ ἐπὶ ἑτέρου ὑποδεί-
15 γματος ἔτους ιζ' Τραϊανοῦ Μεσορὶ β' ὥρᾳ ἡμερινῇ ια' ἥμισυ... Desinit ... καὶ ψηφίσας τὸν Ἥλιον εὕρον ἐν τῷ ὡροσκοποῦντι Αἰγόκερῳ. Procedit :

Τὴν ὥραν τῆς σπορᾶς ἡ κατὰ γένεσιν Σελήνη δηλώσει... Des. οὗτος δὲ ἔστω ἀναγκαστικὸς καὶ μυστικὸς τρόπος εἰς τὴν μέλλουσαν ἀγωγὴν
20 ὑφ' ἡμῶν ἐπιλύεσθαι. Haec rursus habet H., f. 9v et S., f. 4.

Ὑποτάξωμεν δὲ καὶ ἄλλως πότερον πλήρη τις χρόνον διέμεινεν ἐν τῇ γαστρὶ ἢ τὸν ἥμισυν... (F. 275r) ... ἑπταμηνιαῖον ἔσται. τὸ δ' ὅμοιον καὶ ὁ Ἥλιος ἀποτελεῖ διαμετρήσας τὸ ζῴδιον, ἐν ᾧ ἡ σύνοδος ἐγένετο. τοῦτον τὸν τόπον οἱ παλαιοὶ μυστικῶς καὶ σκοτεινῶς διέγραψαν, ἡμεῖς
25 δὲ τηλαυγέστερον. = S., f. 4v, om. H.

LIBER II

Sequitur in codice lacuna duorum versuum. Liber secundus hic incipit ut ex primis eius verbis apparet (cf. cod. S., f. 5; om. H.) : Περὶ μὲν οὖν προτρεπτικῶν καὶ διδασκαλικῶν λόγων ἐν τῷ α' συν-
30 τάγματι ἐδηλώσαμεν καὶ περὶ συγκρατικῆς ἀποτελεσματογραφίας, οὐ τοσοῦτον τῇ περὶ τὸν λόγον κακοζηλίᾳ ἐνεχθέντες, ὅσον τῇ περὶ τὴν ἐμπειρίαν ἐνεργείᾳ. νυνὶ δὲ ἀκολούθως περὶ καθολικῶν ὑποστάσεων καὶ διαφορᾶς τόπων ὑποτάξομεν.

Τοῦ ζῳδιακοῦ κύκλου κατὰ διαφορὰν καὶ οἰκειότητα τεταγμένου
35 εὕρομεν εὑρέσεις β' Ἡλίου τε καὶ Σελήνης, ἡμερινὴν καὶ νυκτερινήν· ὁ μὲν γὰρ Ἥλιος πυρώδης ὑπάρχων προσῳκειώθη Κριῷ, Λέοντι, Τοξότῃ,

29-30 ὑποτάγματι S. 31 τῇ om. M. λόγον S : ζῆλον M. τὴν om. M.

Digitized by Google

ὅπερ αὐτοῦ τρίγωνον προσωνομάσθη ἡμερινόν· ἔστι δὲ καὶ αὐτὸ φύσει πυρῶδες... Des. (f. 275ᵛ) ... καὶ πρὸς τὴν οἰκειότητα καὶ σχηματογραφίαν ἑκάστου ἀστέρος.

Τὴν δὲ τῶν προκειμένων τριγώνων διαίρεσιν καὶ εὐδαιμονίαν ἢ μετριότητα πρὸς τὴν ἑκάστου γένεσιν ὁ ὡροσκόπος δηλώσει· ἐπὶ μὲν γὰρ τῶν ἡμέρας γεννωμένων σκοπεῖν δεήσει τὸν Ἥλιον ἐν ποίῳ τριγώνῳ ὑπάρχει ... Des. (f. 276ᵛ) ... ἐπὶ παντὸς εἴδους σκοπεῖν δεήσει τὸν οἰκοδεσπότην τοῦ οἰκοδεσπότου (*sic*) ὅπως ἔτυχε καὶ ὑπὸ τίνων μαρτυρεῖται. ἐὰν γὰρ ὁ καθολικὸς οἰκοδεσπότης παραπέσῃ, ὁ τούτου κύριος καλῶς σχηματισθῇ, ἕξει βοήθειαν ὁ γεννώμενος καὶ ὑπόστασιν βίου καὶ δόξης, κατὰ τὴν τοῦ ἀστέρος τοποθεσίαν. = S., f. 6ʳ, om. H.

Περὶ κλήρου τύχης καὶ οἰκοδεσπότου.

Ἀκριβέστερον δὲ βουλόμενος τὸν περὶ εὐδαιμονίας τόπον βεβαιῶσαι ἐπάνειμι εἰς τὸν κλῆρον τῆς τύχης ὄντα ἀναγκαιότατον καὶ δυναστικὸν τόπον, καθὼς καὶ ὁ βασιλεὺς ἐναρχόμενος ἐν τῇ ιᾳ' βίβλῳ μυστικῶς ἐδήλωσε λέγων· " ἐπεχομένως δεήσει τοῖς ἡμέρας γεννωμένοις σαφῶς ἀριθμεῖν ἀπὸ Ἡλίου ἐπὶ Σελήνην, ἔμπαλιν δ' ἀφ' ὡροσκόπου ἰσότητα τάσσειν καὶ τὸν ἀποβάντα τόπον συνορᾶν, οὗτινος τέτευχεν ἀστέρος καὶ τίς ἢ τίνες ἐπὶ τοῦτον πρόσεισι, τά τε τρίγωνα ἢ τετράγωνα παντάπασιν, ὡς κατιστόρηται. ἐκ γὰρ τῆσδε τῆς τῶν τόπων προγνώσεως πρόδηλα κρίνεις τῶν γεννωμένων τὰ πράγματα· „ ὁμοίως δὲ καὶ ὁ Πετόσιρις ἐν τοῖς Ὅροις ἐδήλωσε τὸν τόπον· ἄλλοι δ' ἄλλως διαλαμβάνουσιν, ὧν καὶ ἡμεῖς ἐκθησόμεθα ἐν δέοντι καιρῷ καὶ ἄλλας ἀγωγὰς δηλούσας εἰς τὸν περὶ εὐδαιμονίας τόπον ἢ λόγον· νυνὶ δὲ περὶ τοῦ προκειμένου λεκτέον.

Κρόνος τὴν ὥραν λαχὼν ἢ τὸν κλῆρον ὡροσκοπήσας, μὴ ἐναντιουμένου τοῦ Ἄρεως. ὁ τοιοῦτος εὐδαιμονήσει περὶ τῆς ὑπὸ Κρόνου μεριζομένης πράξεως. ἐὰν δὲ ὑπὸ Διὸς μαρτυρηθῇ ... Des. (f. 277ᵛ) ... εἰ δὲ κακοποιὸς συμπαρῇ ἢ καθυπερτερήσει τὴν Σελήνην, ἄχρηστα τὰ βρέφη ἔσονται. = II, 4 S, qui sequentia quoque habet.

Ἐν τούτῳ τῷ τόπῳ ἐὰν οἱ κακοποιοὶ τύχωσι μεγάλα σίνη καὶ πτώσεις ἀπεργάζονται, μάλιστα δὲ ἐὰν ἰδιοπροσωπῶσιν ... πολλοὶ δὲ καὶ τὰς χεῖρας ὑφέξουσιν.

Ἐὰν ἐπὶ τοῦ ἀγαθοποιοῦντος ζωδίου ὦσιν οἱ ἀγαθοποιοὶ ἐπιτόπως κείμενοι <ἢ> ἐν ἰδίοις προσώποις ἐπιφανεῖς καὶ πλουσίους ἐκ νεότητος ποιοῦσι ... ἐνδόξους γὰρ καὶ πλουσίους ὑπέραγαν ἀποτελοῦσιν.

2 πυρρώδης cod. Cf. p. 88, v. 1. 8 οἰκοδεσπότην, l. κύριον? 12 Titul. in M omiss. ex S, cap. II, 3 suppl. 13 ὁ βουλόμενος (ὁ eras.) M. 14 δυνατικὸν M. 16 ss. Cf. Riess, *Nechepsonis et Petos. fragmenta*, p. 365, fr. 19. 17 ἔμπαλιν δ' ἀφ' ὡροσκόπου M : πάλιν δ' ἀφορῶν S. 19 τούτων S. τετράγωνα ἢ τρίγωνα S. 20 κατιστόρηται M : κατηστέρηται S. συγγνώσεως S. 21 κρίνειν S. 23 ὧν M. 24 δηλούσας om. M. τόπον ἢ om. S.

Digitized by Google

Ἐν τούτῳ τῷ τόπῳ καὶ οἱ ἀγαθοποιοὶ καὶ οἱ κακοποιοὶ χαίρουσι μάλιστα κληρωσάμενοι τὸν κλῆρον ἢ τὸν ὡροσκόπον ἢ τὸν δαίμονα ... Des. (f. 278r) ... πολυπράγμονας ἢ στειρώδεις ἢ ἀτέκνους ποιεῖ.

Ἐὰν ἀγαθοποιοὶ τύχωσιν ἐπὶ τοῦδε τοῦ τόπου καὶ κληρώσονται τὸν ὡροσκόπον ἢ τὴν τύχην, ὁ γεννώμενος μακάριος, εὐσεβής, προφήτης μεγάλου θεοῦ καὶ ἐπακουσθήσεται ὡς θεός ... ἢ ἐγκάτοχοι ἐν ἱεροῖς γίνονται, παθῶν ἢ ἡδονῶν ἕνεκεν.

Οἱ ἀγαθοποιοὶ παρόντες ἐν τούτῳ τῷ τόπῳ ἄπρακτοι καὶ ἀσθενεῖς καὶ ἀμέριστοι τῶν ἰδίων ἀγαθῶν. εἰ δὲ καὶ τοῦ ὡροσκόπου καὶ τοῦ κλήρου κυριεύσωσιν ... καὶ εὐφρανθήσονται ἐπὶ τέκνοις.

Οἱ ἀγαθοποιοὶ ἐπιπαρόντες ἢ ὡροσκοποῦντες τὸν ὡροσκόπον ἢ τὸν κλῆρον τῆς τύχης, ἀγαθὰ σημαίνουσι τοῖς γεννωμένοις ... Des. (f. 278v) ... καὶ ἐπὶ τὸ γῆρας εὐτυχεῖς.

Οἱ ἀγαθοποιοὶ ἐν τούτῳ τῷ τόπῳ ἐὰν τύχωσι ἐπιπαρόντες, ὁ γεννώμενος ὅσα ἂν κτήσεται, ἀπολεῖ ... ἐλεύθεροι καὶ εὐσχήμονες γενέσθαι.

Ἐὰν οἱ ἀγαθοποιοὶ τύχωσι τὸν ὡροσκόπον ἢ τὸν κλῆρον τῆς τύχης λαχόντες, ὁ γεννώμενος μέγας ἔσται ... Des. (f. 279r) ... οὐκ ἰσχύουσι βλάπτειν.

Ἐὰν οἱ ἀγαθοποιοὶ κυριεύσωσι τοῦ ὡροσκόπου ἢ τῆς τύχης καὶ παρῶσιν, ἐν ἱεροῖς τὸν βίον ἕξουσιν ... οἷς ἂν θέλωσιν τὰ αὐτῶν καταλείπουσιν.

Ἐν τούτῳ τῷ ζῳδίῳ ἐὰν τύχῃ ἡ Σελήνη κληρωσαμένη τὸν ὡροσκόπον ἢ τὸν κλῆρον ἰδιοπροσωποῦσα, ὁ γεννώμενος μέγας ἔσται ... Des. (f. 279v) ... ὑποχυθήσονται τὴν ὅρασιν, ἀπογλαυκωθήσονται τοὺς ὀφθαλμούς.

Ὁ μὲν θεὸς σημαίνει περὶ πατρός, ἡ δὲ θεὰ περὶ μητρός, ἀγαθὸς δαίμων περὶ τέκνων, ἀγαθὴ τύχη περὶ γάμου, κακὸς δαίμων περὶ παθῶν, κακὴ τύχη περὶ σινῶν (f. 280r), κλῆρος τύχης καὶ ὡροσκόπος περὶ ζωῆς καὶ βίου, ὁ δαίμων περὶ φρονήσεως, μεσουράνημα περὶ πράξεως, ἔρως περὶ ἐπιθυμίας, ἀνάγκη περὶ ἐχθρῶν.

Ζεὺς Ἥλιον τριγωνίζων μεγάλους καὶ ἐπιδόξους σημαίνει· εἰ δὲ ὡροσκοπεῖ ὁ Ἥλιος καὶ τῷ πατρὶ καὶ τῇ γενέσει, εἰ δὲ ἐπίκεντρος τῷ πατρί, ἔνδοξον γὰρ σημαίνει, εἰ μὴ ἄλλη τις αἰτία διορθώσῃ· εἰ δὲ ὁ Κρόνος ἐκ τοῦ εὐωνύμου τριγωνίζῃ Ἥλιον ὡροσκοποῦντι, γίνεται ... (= S., f. 10v). Sequuntur de trigonis multa huiuscemodi, quibus singulis nonnulla de tetragonis, hexagonisque subiciuntur, plerumque brevia et concisa : F. 282r legitur medio in capitulo : Καθόλου δὲ ἐπὶ πάσης γενέσεως γινώσκεται ὅτι ὅσα ἐπὶ τῶν τριγώνων ἐνεργεῖ ἕκαστος τῶν ἀστέρων, τοσαῦτα καὶ συνόντες ἐν τῷ αὐτῷ ζῳδίῳ ἀποτελοῦσιν. ἐξάγωνος δὲ ὑπάρχων Ἑρμῆς Σελήνη ἀμαυρότερος καὶ ἀσθενέστερος καθέστηκε τῶν προειρημένων· εἰ δὲ τετράγωνος τύχῃ δριμεῖς, ἀγχινόους ... Desinit f. 283r. ... Ἐπὶ μὲν γὰρ τῶν κέντρων μεγάλους ἀπὸ νεότητος ἀποτελοῦσιν, ἐπὶ δὲ τῶν ἐπαναφορῶν ἀπὸ μέσης ἡλικίας ἀνα-

Digitized by Google

γομένους, ἐπὶ τῶν ζ' κλιμάτων <l. ἀποκλιμάτων> ἥττονας καὶ ταπεινούς.

Περὶ δὲ τριγωνικῆς τάξεως ἐκθέμενος μεταβήσομαι πάλιν εἰς τὸν περὶ εὐδαιμονίας καὶ τύχης κλῆρον καὶ δαίμονος· πρὸ πάντων οὖν δεῖ ἀκριβῶς στῆσαι τὸν κλῆρον τῆς τύχης καὶ σκοπεῖν εἰς ποῖον μέρος τοῦ κόσμου ἐξέπεσε, πότερον ἐπὶ τῶν κέντρων ἢ τῶν ἐπαναφορῶν ἢ τῶν ἀποκλίσεων, ὁμοίως δὲ καὶ τὸν τούτου κύριον ... Des. (f. 283ᵛ) ... εἰ δὲ φθοροποιὸς ἀπὸ βολῆς ὑπάρχων (ἀποβολῆς ὑπαρχόντων S) καὶ φθίσεως σώματος αἴτιος γενήσεται. = S., f. 15ʳ.

<Περὶ ὑψώματος Ἡλίου καὶ Σελήνης πρὸς εὐδαιμονίαν>.

Μυστικὸν δέ τινα τόπον εὕρομεν καὶ αὐτοὶ ἐκ πείρας λαμβάνειν· ἡμέρας μὲν ἀπὸ Ἡλίου τοῦ κατὰ γένεσιν ἐπὶ Κριὸν ὅ ἐστιν ὕψωμα αὐτοῦ. καὶ νυκτὸς ἀπὸ Σελήνης ἐπὶ Ταῦρον, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου ..... κακοπαθήσαντες καὶ παραπεσόντες ἐξ ὑστέρου δι' ἑτέρων εὐτύχησεν πραγμάτων.

Ὅθεν περὶ τὰς ἐπιβουλὰς τῶν πράξεων καὶ μετατροπὰς ὅ τε κλῆρος καὶ ὁ δαίμων πολλὴν δύναμιν ἐφέξει· ὃς μὲν γὰρ τὰ περὶ τὸ σῶμα καὶ τὰς διὰ χειρῶν τέχνας δηλοῖ, ὁ δὲ δαίμων καὶ ὁ κύριος τὰ περὶ ψυχῆς καὶ διάνοιαν καὶ τὰς διὰ λόγων καὶ λήψεων πράξεις, ... Des. (f. 284ʳ) ... πολλάκις δὲ οἱ τοιοῦτοι ὑπὸ μὲν ἰδίων οὐ κληρονομοῦνται, ὑπὸ δὲ ἀλλοτρίων κληρονομοῦνται. = S, f. 16ʳ, qui multo plenior est.

Καὶ τούτους δὲ τοὺς τόπους δυναστικοὺς ὄντας εἰς τὸν περὶ ἐνδόξων καὶ ἐπισήμων γενέσεων ἀναγκαίως ὑπέταξα· ἐὰν ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν χρηματιστικοῖς ζῳδίοις ὄντες δορυφορηθῶσιν ὑπὸ τῶν πλείστων ἀνατολικῶν, μηδενὸς τῶν κακοποιῶν ἐναντιουμένου, εὐτυχεῖς καὶ ἐνδόξους, ἡγεμονικὰς καὶ βασιλικὰς τὰς γενέσεις ποιοῦντες, ἔσονται ὑποτυχεῖς οἱ γεννώμενοι... — Des. (f. 285ʳ) ... ὁμοίως καὶ ἐὰν ὁ κύριος τῆς περιποιήσεως ἐναντίος αὐτῷ γένηται τῷ βίῳ πολυδαπάνους, ὁμοίως καὶ ἐὰν ᾖ αὐτὸς ὁ κύριος τῆς περιποιήσεως, ἀφαιρῶν τῷ ἀριθμῷ ἢ ἄκεντρος ὢν ἢ μοίρας ἀλλοτρίας ἢ οἶκον ἔχων. = S, f. 18ᵛ.

F. 285ʳ. Ἐὰν ὁ περὶ δάνους κλῆρος πέσῃ ἢ ὁ κύριος αὐτοῦ εἰς τὰ τετράγωνα ..... καὶ κλοπῆς καὶ ἐπιθέσεως εὑρήσεις τὰ τῆς ὑπάρξεως ὄντα. = S, f. 20ᵛ.

Nonnulla praebet deinde περὶ κλοπῆς et περὶ ἐνέδρας. Inc. Ἀριθμεῖται δὲ ὁ περὶ κλοπῆς... — Des. συννοητέος ὁ τρόπος. Sequitur f. 285ᵛ: Ὅσαι δὲ μετὰ τὴν εὐτυχίαν καθαιροῦνται ἢ ἐκπίπτουσιν ὑποδείξομεν. Ἐὰν ὁ περὶ ἀξίας καὶ ὑψώματος τόπος ἐναντίους ἔχῃ κακοποιούς... — Des. (f. 286ʳ) ... ἐπὶ δὲ τῶν μέσων ζῳδίων εὐσχήμονας ἐπιδόξους, ἀρχικούς, ἐπί τε τῶν ἀποκλιμάτων εὐπόρους, πρακτικούς, ὑπὸ ἑτέρων ἐξουσίας τεταγμένους, πίστεων καὶ τάξεων καταξιουμένους.

Ἔστω δὲ ἐπὶ ὑποδείγματος ☉ ☾ Ζ' ☿ Λέοντι, Κρόνος ὡροσκοπῶν Ζυγῷ, Ἄρης Ὑδροχόῳ, Ἀφροδίτη Διδύμοις, ὁ τοιοῦτος εὐτυχὴς, ἡγε-

Digitized by Google

μονικός, τυραννικός... Sequuntur alia tria exempla. Des. ... ἀνεπίμονα τὰ τῆς δόξης καὶ τὰ τῆς τύχης γένηται. = S., f. 21v.

Οἱ δὲ χρόνοι καταληπτέοι ἔσονται τῆς εὐτυχίας ἢ τῆς δυστυχίας, ἀνωμαλίας τε καὶ ἀπραξίας ἐκ τῆς ἑκάστου ζῳδίου ἀναφορᾶς ἢ τῆς τοῦ χρόνου κυκλικῆς περιόδου, περὶ μὲν γὰρ χρόνων ζωῆς ζητοῦντας δεῖ προσέχειν τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἢ τὴν ζωὴν ἢ τὸ ζῴδιον ἐφ' ὧν οἱ κύριοι πάρεισι· πρὸς δὲ πρᾶξιν καὶ δόξας τῷ κλήρῳ τῆς τύχης καὶ δαίμονι καὶ Ἡλίῳ ἢ συνόδῳ ἢ πανσελήνῳ, τῷ τε ὑψώματι καὶ τῷ τούτου κυρίῳ... — Des. ... εἶθ' οὕτως οἱ ἐν τοῖς μερικοῖς ἀποκλίμασι οὐ μέντοι τελέαν τὴν ἀναφορὰν καὶ τὰς περιόδους ἀλλ' ὅσον μέρος τοῦ ζῳδίου διακατέχειν δύνανται πρὸς ἀναλογίαν τοσοῦτον καὶ τοῦ περιόδου καὶ τῆς ἐπαναφορᾶς· οἱ γὰρ ἐπὶ τῶν κέντρων ἢ ἐπαναφορῶν οἰκείως σχηματισθέντες ἢ ἀνατολικοὶ εὑρεθέντες, μάλιστα δὲ λόγον ἔχοντες πρὸς τὰ τῆς γενέσεως πράγματα ἅτινα ἐστίν, ἐπὰν τῶν προκειμένων τόπων...

Textus hic abrumpitur in imo folio 286r, in medio capite II, 8 codicis Seldeniani.

F. C. et W. K.

Digitized by Google

EXCERPTA EX CODICE 5 (Marc. cccxxiv)

Ex « Introductione et fundamento astrologiae » Achmetis[1].

F. 202. Εἰσαγωγὴ καὶ θεμέλιον εἰς τὴν ἀστρολογίαν· Ποίημα Ἀχμάτου τοῦ Πέρσου.

α'. Ἡ ποίησις τούτου τοῦ τοιούτου βιβλίου ἐκ τῶν βιβλίων τῶν Περσῶν ὃ ἐποίησεν ὁ Ἀχμάτης, ὅστις, ὡς ἔφη, συνῆξε τὰ βιβλία τὰ εὑρισκόμενα ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς αὐτοῦ ἡμέρας καὶ ἐξ αὐτῶν ἐποίησε θεμέλιον ὡς ἀληθέστατα καὶ ἔλαβεν ἐξ ἑκάστης χρονογραφίας καὶ ἐξ ἑκάστης κρίσεως καὶ ἐξ ἑκάστης καταρχῆς καὶ γενεθλιαλογίας καὶ ἐναλλαγῆς χρόνου, συνόδων τε καὶ ἐρωτήσεων λόγων καὶ ἐκ τούτων πάντων ἐποίησε βιβλίον πρῶτον καὶ ὠνόμασε τοῦτο Εἰσαγωγὴν καὶ θεμέλιον, εἰσαγωγὴν μὲν τῆς μαθήσεως, θεμέλιον δὲ ὡς ἀληθέστερον εἰς ἀπόδειξιν, ἐμέρισε δὲ τοῦτο εἰς βιβλία δ'.

β'. Προοίμιον εἰς τὴν ἀστρολογίαν ἐκ τοῦ πρώτου λόγου τῶν Περσῶν.

Ἰστέον ὅτι ἡ τέχνη καὶ ἡ σύγκρισις τῶν ἀστρονόμων δύο πρώτας ἐννοίας καὶ πραγματείας ἔχει. μίαν μὲν ἵνα γινώσκῃ τοὺς ἀστέρας καὶ τὴν κίνησιν αὐτῶν καὶ τὸ αὐθημερινὸν αὐτῶν καὶ ἔχῃ ἀληθῆ εἰκασμὸν

7 ἀληθέστερα cod. 8 κρίσεως ὡς cod. 9 Αn συνόδων τε καὶ πανσελήνων.

---

[1] Achmetis hic prooemium et capitula nonnulla introductionis protulimus quo facilius de indole operis ad hunc diem ignoti iudicetur. An scriptor eius idem sit atque Ἀχμὲτ υἱὸς Σερεὶμ ὁ ὀνειροκρίτης τοῦ πρώτου συμβούλου Μαμοῦν, cuius onirocritica edidit Rigaltius (Paris 1603), incertum est, veri tamen non est simile, nam Achmet ille anno circiter 820 p. C. n. florebat (Krumbacher, *Gesch. Byz. Lit.*, p. 630, ed. 2; Ruelle, *Rev. ét. gr.*, VII, p. 305), hi libri autem apotelesmatici non ante saeculum decimum compositi esse videntur, cum plura ex Apomasare, anno 885 p. C. n. mortuo, contineant. Fortasse de *Abu Dja'afar Ahmed ben Jusuf ben Ibrahim*, viro non Persa sed Aegyptio, qui circa ann. 945 mortuus est, cogitandum (Steinschneider, *Hebräische Uebersetz. des Mittelalters*, § 326, p. 326). At vide ne opus vel ex toto vel partim a falsario inlustri astrologo suppositum sit, nam qui haec consarcinavit Hephaestionem Thebanum (*supra*, p. 13, n. 1) expilavit. — Achmetis libri astrologici in codicibus plurifariam inveniuntur e. g. in Angelicano 29, saec. XIII, f. 181ᵛ ss. (*Studi italiani di fil.*, IV, cod. 62), et in cod. Palatino Vatic. 312, f. 86-115. F. C.

Digitized by Google

καὶ κατάληψιν. καὶ αὕτη ἡ σοφία ἀληθής ἐστι καὶ ὑψηλὴ καὶ εἰ μὴ ὁ οἰκοδεσπότης τοῦ καθολικοῦ νοός, ὁ τούτων ποιητής, ὁ πρῶτος νοῦς, ὁ πάροχος τῆς τοιαύτης τέχνης ἄνωθον χορηγοῖ, οὐκ ἀν αὐτὴν εὕροι τις. ἑτέραν δέ, ἵνα γινώσκῃ τὰς δυνάμεις καὶ τὰ ἔργα τῶν ἀστέρων, ὡς ἂν τὸ σύμπτωμα αὐτῶν ἐκ πάντων τῶν ὑποκάτω τοῦ περιέχοντος φανῇ κ. τ. λ. — Quae omnia ex Ptolemaei *Tetrabibli* prooemio surripuit Achmes. F. C.

F. 226. νη'. Περὶ σχημάτων πάντων τῶν ἀστέρων, καθὼς εἶπον Μασήρης ὁ Πέρσης καὶ Μουχαμάτης ὁ Παλχιώτης· μετηνέχθη δ' ἐκ τῆς τῶν Περσῶν διαλέκτου.

Περὶ Κρόνου καὶ Διός.

Ὁπηνίκα ὁ Κρόνος συνοδεύῃ μετὰ τοῦ Διός, δηλοῖ παντοίων οἰκοδομημάτων κατάλυσιν, ἤτοι οἴκων καὶ πόλεων, ἀλλὰ δὴ καὶ τῶν ἱερῶν πραγμάτων καὶ θείων ἐναντίωσιν· εἰ δὲ συμβαίνει ἐν τῷ τοῦ Κρόνου οἴκῳ τοῦτο γίνεσθαι, τότε ἔτι μᾶλλον τὰ τῆς κακίας αὔξει· εἰ δὲ ἐν τῷ τοῦ Διός, ἔλαττον ὑπάρχει τὸ κακὸν ὡς τούτου ὑπερνικῶντος. εἰ δὲ σχηματισθῇ τῷ Κρόνῳ ὁ Ζεὺς ἑξαγώνως ἢ τριγωνικῶς, δηλοῖ πολλὰς ὀχλήσεις καὶ δικαιολογίας ἐν τοῖς ἀνθρώποις, μάλιστα δ' ἐν βασιλεῦσι καὶ μεγιστᾶσι καὶ ἐγχωρίοις. εἰ οὖν εὑρεθῶσιν οὗτοι οἱ δύο ἀστέρες ἐνδόξως εἰς τὴν δύναμιν αὐτῶν ἤγουν εἰς τοὺς οἴκους αὐτῶν, καθὼς εἴρηται γενήσονται· εἰ δὲ ὁ εἷς μεγάλην παράκλησιν φέρῃ, δηλοῖ ἀγαθοσύνην τῶν μοναχῶν τῶν γερόντων τε καὶ ἐγχωρίων, εὐφροσύνην τε τῶν δούλων καὶ εὐθηνίαν τῶν τροφῶν καὶ δύναμιν βασιλέων καὶ μεγιστάνων· εἰ δὲ τετραγωνικῶς ἐκ τοῦ δ' οἴκου, δηλοῖ ἀναγωγὴν τῶν βασιλέων τῆς τε πίστεως καὶ τοῦ νόμου, ἐμφαίνων πολέμους πολλούς, ὑποκρίσεις τε καὶ κακοσύνην ἀρχιερέως· εἰ δὲ διαμέτρως, δηλοῖ πολέμους καὶ μετακινήσεις βασιλέων καὶ τυράννων καὶ πλῆθος ὑποθέσεων, κακοσύνην πίστεως καὶ θρησκειῶν καὶ ἀπραγίαν τροφῶν· εἰ δὲ σχηματισθῇ ἐκ τοῦ ι' οἴκου, δηλοῖ μέσον βασιλέων καὶ ἀρχιερέων ἔτι τε καὶ γερόντων καὶ μοναχῶν κακοσύνην.

Περὶ Κρόνου καὶ Ἄρεως.

Ἐὰν σχηματισθῇ τῷ Κρόνῳ ὁ Ἄρης συνοδικῶς, δηλοῖ ἐγχωρίων ζημίαν καὶ στρατιωτῶν ληστείας καὶ ἐνέδρας καὶ δοστασίας, φύματα χολικὰ καὶ ἐξανθήματα καὶ τραύματα εἰς τοὺς ἀνθρώπους ἔσεσθαι, μάλιστα εἰ τὸ ζῴδιόν ἐστι πυρῶδες ἢ ἀερῶδες· κακίαι γὰρ ἔσονται καὶ μηχανίαι μέσον τοῦ κοινοῦ λαοῦ τῶν πόλεων ἐκείνων τῶν ἐχόντων τὸ

1 κατάλληψιν cod. 7 ss. Auctores ignoti videntur. — Codices supra laudatos inspicere nobis non contigit. 8 εἶπεν cod. 14 δὴ cod., θείων scripsi. 15 ἐπὶ cod., ἔτι scripsi. 24 ἀλλαγωγὴν cod.

Digitized by Google

ζῴδιον τῆς συνόδου ὡροσκόπουν· δηλοῖ καὶ ἀπώλειαν βασιλέως τῆς αὐτῆς πόλεως καὶ τὴν βασιλείαν τῆς αὐτῆς πόλεως ἑτέρου τόπου βασιλεὺς διαδέξεται. εἰ δὲ σχηματισμὸς αὐτῶν ἐστι ἑξάγωνος ἢ τριγωνικός, δηλοῖ δυσκολίας μέσον τῶν ἀνθρώπων καὶ δεσμοὺς <καὶ> δουλείας καὶ δικαιολογίας καὶ κίνημα στρατοῦ γενέσθαι καὶ πλῆθος ὑετοῦ εἴ ἐστιν ὁ καιρὸς τοιοῦτος· εἰ δὲ τετραγωνικός, δηλοῖ ἐμφάνειαν κλεπτῶν καὶ λῃστῶν, ζημίαν γερόντων καὶ χρυσοχόων καὶ ἀναγωγὴν τῶν ὑποθέσεων αὐτῶν, πολιορκίαν τῶν πόλεων καὶ ψευδολογίαν ἀνθρώπων· καὶ τὸ διάμετρον ὁμοίως αὐτῷ· εἰ δὲ σχηματισθῇ ἐκ τοῦ ι′ οἴκου, δηλοῖ εἰς τοὺς παροίκους ζημίαν καὶ πόνων ἐκ βασιλέων καὶ ζημίαν πολλὴν μέσον τοῦ κοινοῦ λαοῦ, μάλιστα ὁπηνίκα ἡ πόλις ἐκείνη ἔχει ὡρόσκοπον ἓν τῶν ζῳδίων τοῦ Ἄρεως.

Περὶ Κρόνου καὶ Ἡλίου.

Εἰ συνοδεύει τῷ Κρόνῳ ὁ Ἥλιος, ἀπραξίαν δηλοῖ εἰς τὰς τῶν μεγιστάνων δουλείας· εἰ δὲ ἑξαγωνίζει ἢ τριγωνίζει, δηλοῖ πλεονεξίαν βασιλέων κατὰ τῶν πραγμάτων τῶν παροίκων, ὁμοίως καὶ τῶν μεγιστάνων· εἰ δὲ τετραγωνίζει, δηλοῖ συμβουλὴν βασιλέων μετὰ ἀρχόντων· εἰ δὲ διαμετρεῖ ἐκ τοῦ ζ′, δηλοῖ φιλονεικίαν μέσον τῶν παροίκων καὶ τοῦ βασιλέως, καὶ ἐξ ἀνθρώπων ταπεινῶν καί χθαμαλῶν λόγοι ἐμφανισθήσονται· εἰ δ' ἀπὸ τοῦ ι′, δηλοῖ ὅτι οἱ βασιλεῖς ἐκ τῶν παροίκων φοβηθήσονται καὶ οἱ πάροικοι πάλιν ὁμοίας φοβηθήσονται ἐκ βασιλέων καὶ ἀνταποδόσεις καὶ φυλακαὶ ἀνάμεσον αὐτῶν ἔσονται.

<Περὶ Κρόνου καὶ Ἀφροδίτης.>

Ἡ σύνοδος τῆς Ἀφροδίτης μετὰ τοῦ Κρόνου δηλοῖ γυναικῶν κακοσύνην καὶ οἱ μετέχοντες τῆς Ἀφροδίτης κακοπαθήσουσιν· εἰ μὲν οὖν ἐστιν ὁ καιρὸς χειμέριος ψῦξις ἔσται δυνατή, τῶν δὲ γερόντων αἱ δουλεῖαι μέσαι ἔσονται, πλῆθος γενήσεται βρεφῶν καὶ ψευδολογία πολλή, ὥστε στενωθήσεσθαι τὰς τῶν ἀνθρώπων καρδίας καὶ θλιβῆναι καὶ τοὺς κατοικοῦντας ἀνθρώπους ἐν παραθαλασσίοις· κακοσύνη ἔσται καὶ πᾶν τὸ ἐμπορευόμενον ἐκ τοῦ ὕδατος εὐθηνήσει, οἷον μάργαρος καὶ τὰ ὅμοια, τὸν δὲ κοινὸν λαὸν φόβος καὶ τρόμος καταλαμβάνει. εἰ δὲ ἑξάγωνοι ἢ τριγωνικοί, δηλοῖ καλλοκαρδίας γυναικῶν ἐκ τοῦ μέρους τῶν γερόντων καὶ καλλοσύνην τῶν ὑποθέσεων αὐτῶν, καὶ ὑετὸν εἴπερ ἐστὶν ὁ καιρὸς τοιοῦτος. εἰ δὲ τετραγωνικοί, δηλοῖ δυσκολίαν καὶ δυστοκίαν γυναικῶν, ἔτι τε ὀχλήσεις μέσον ἀνδρῶν καὶ γυναικῶν καὶ ὑετὸν κατὰ τὴν ὥραν αὐτοῦ. εἰ δὲ ὁ τετράγωνος αὐτῶν ἐστιν ἐκ τοῦ οἴκου τοῦ τετάρτου, δηλοῖ κακοσύνην καὶ μέγα θαῦμα εἰς αὐτούς, ἔτι

4 καὶ alterum inserui. 7 ἀλαγογὴν cod. 11 ἓν τῶν] ἐκ τῶν cod. 18 Intellige ἐκ τοῦ ζ′ τόπου ἀπὸ ὡροσκόπου. 23 περὶ Κρόνου καὶ Ἀφροδίτης inserui. 30 εὐθενίσει cod. 31 καταλάβῃ cod. 32 l. κακοκαρδίας? 36 κατὰ corr. : καὶ cod.

Digitized by Google

τε βάρος καὶ πολυλογίαν, μάλιστα τοὺς μετέχοντας τῆς Ἀφροδίτης· εἰ δ' ἀπό τοῦ ζ', δηλοῖ θάνατον γυναικῶν καὶ ζημίαν τῶν παιγνιωτῶν, εὔνοιάν τε καὶ ἀδολεσχίαν μέσον τῶν ἀνθρώπων, ψῦξίν τε καὶ βλάβην· εἰ δ' ἀπὸ τοῦ ι', πᾶν τὸ μετέχον τῆς φύσεως τῆς Ἀφροδίτης ἀπραγήσει, οἷον μυρεψικὰ καὶ εὐώδη πράγματα, μάργαροι, ἐνδύματα γυναικῶν καὶ ὑφάσματα καὶ ἀπὸ βασιλέων δυσκολίαν εὑρήσουσιν.

<Περὶ Κρόνου καὶ Ἑρμοῦ.>

Ἐὰν συνοδεύῃ ὁ Ἑρμῆς τῷ Κρόνῳ, δηλοῖ ὅτι οἱ ἄνεμοι *** περιγενήσονται εἰς τὰς γοητείας καὶ τὰς μαγείας. ὁμοίως θέαμα καὶ κακοσύνην γραμματικῶν καὶ φθορὰν τῶν ὁπωρῶν, εἴ γε ὁ καιρὸς αὐτῶν· εἰ δὲ ἑξάγωνος ἢ τριγωνικός, δηλοῖ ὅτι οἱ ἄνθρωποι εἰς τὰς βασιλικὰς δουλείας ἐμβλέψουσι καὶ κατασκοπήσουσι καὶ γυρεύσουσι μαντάτα, καὶ εἰ μέν ἐστιν ὥρα ὑετοῦ βρέξει πολλά, εἰ δ' οὔ, ἄνεμος ἔσται καὶ κονιορτὸς πολὺς καὶ πολλαὶ ἀσθένειαι· εἰ δὲ τετραγωνικός, ψηλαφήσουσιν οἱ ἄνθρωποι τῶν σοφῶν τὰ κρύφια, ἤγουν ἐρευνήσουσι καὶ τοὺς σοφούς· εἰ δὲ τὸ τετράγωνον <αὐτῶν ἔσται ἐκ τοῦ τετάρτου οἴκου>, ἀπ' αὐτῶν γενήσεται ψεύδη καὶ μαντάτα κακὰ καὶ ζημίαι τῶν ἀναγνωστῶν, πολλοί <τε> θάνατοι καὶ ἀσθένειαι, ἄνεμός τε καὶ ὑετὸς εἰς τὴν ὥραν αὐτοῦ· εἰ δ' ἀπὸ τοῦ ζ', δηλοῖ ψεύδη καὶ συκοφαντίας πολλὰς μέσον τοῦ λαοῦ, ζημίας τε καὶ ἐξόδους πολλάς, εὐθηνίαν τετραπόδων, στρατείας μεγάλας καὶ πολλὴν κίνησιν, καὶ ἕνεκεν τούτου τοῦ κινήματος οἱ πλεῖστοι τῶν κοσμικῶν ἐκ τῶν τόπων αὐτῶν μεταβήσονται καὶ αἱ πόλεις αἱ ἔχουσαι μετοχὴν εἰς τὸ ζῴδιον ἐν ᾧ ἐστιν ὁ Ἑρμῆς ἢ εἰς τὸν Ἑρμῆν, τυραννισμὸν ἕξουσιν· ἔσται δὲ καὶ πολὺς ἄνεμος καὶ ὑετός· εἰ δ' ἀπὸ τοῦ ι', δηλοῖ ὅτι οἱ ἄνθρωποι εἰς τὰς μηχανίας καὶ καταλαλίας περιγενήσονται· αἱ δὲ ὑποθέσεις τῶν φροντιστῶν καὶ δούλων καὶ βασιλέων μέσαι ἔσονται.

<Περὶ Κρόνου καὶ Σελήνης.>

Εἰ συνοδεύει τῷ Κρόνῳ ἡ Σελήνη, αἱ δουλεῖαι τῶν ἀνθρώπων εἰς κακίαν μεταβήσονται καὶ ἔτι συμβίβασιν ποιήσουσιν [οὐκ ἔχει τὸ βέβαιον], ἔσονται δὲ καὶ ἀποκινήσεις τῶν ἐνοικούντων τόπων μάλιστα εἰς τὴν ὥραν τοῦ ὡροσκόπου τοῦ Κρόνου ἢ εἰς τὸν ὡροσκόπον τῆς συνόδου, ὡροσκόπος τοῦ κόσμου γενήσεται, καὶ τὰ ὕδατα ἐκ τῶν φρεάτων ἐλαττωθήσονται· εἰ δὲ ἑξάγωνοι ἢ τριγωνικοί, ποιήσουσιν οἱ ἄνθρωποι ὄ<κρι>ους ψευδεῖς καὶ πολλούς, ἔσονται δὲ καὶ ψευδομαρτυρίαι καὶ θλίψεις καὶ κόποι πολλοὶ καὶ ἀσθένειαι πολλαὶ καὶ εἴ ἐστιν ὥρα

1 πολλυλογίαν cod. μάλλιστα cod. 7 περὶ Κρόνου καὶ Ἑρμοῦ inserui. 8 post ἄνεμοι spatium vacuum. 10 εἰ δὲ cod. 12 ἐμβλέψωσι cod. μαντάτα quae hic et infra occurunt, sunt *mandata*. 13 οὖν cod., οὔ scripsi. 14 πολλὺς cod. 17 αὐτῶν ἔσται ἐκ τοῦ τετάρτου οἴκου inserui. 18 τε add. 24 νολλὺς cod. 28 περὶ Κρόνου καὶ Σελήνης inserui. 30-31 οὐκ ἔχει τὸ βέβαιον unc. secl.

Digitized by Google

ψύξεως, ἔτι δὲ καὶ ἡ τῆς Σελήνης μονὴ ψυχρᾶς κράσεως δηλοῖ χίονα πολλήν, μέχρις οὗ πολλὰ εἴδη φθαρήσονται καὶ φυτεύματα· εἰς δὲ συμβίβασιν καὶ ἀρραβῶνα καὶ παράδοσιν χώρας πολλὰ καλόν ἐστιν· εἰ δ' ἐκ τοῦ οἴκου τοῦ τετάρτου σχηματισθῇ, δηλοῖ ἀντιλογίας ἀσυμφόρους, φόβον τε εἰς τὰς καρδίας τῶν ἀνθρώπων καὶ συντυχίας ἀλλήλων μετὰ φόβου πολλοῦ· εἰ δ' ἀπὸ τοῦ ζ', δηλοῖ πολέμους καὶ κακίας μέσον ἀνθρώπων, ὡς μισεῖν τὰς ὁμιλίας καὶ ἀγαπᾶν τὴν ἡσυχίαν, δηλοῖ καὶ δυναστείαν εἰς τοὺς παροίκους ἀπὸ βασιλέων· εἰ δ' ἀπὸ τοῦ ι', δηλοῖ μάχην μέσον τῶν βασιλέων μάλιστα ἐὰν σχηματισμὸν ἕξωσι κακόν.

F. 227. Περὶ σχηματισμῶν Διὸς καὶ Ἄρεως.

Εἰ συνοδεύει τῷ Διὶ ὁ Ἄρης, δηλοῖ δυσκολίαν ἀνθρώπων εἰς τὰς δουλείας αὐτῶν, ὥστε κακίζειν αὐτάς, ἀγνωσίαν τε καὶ ἀφροσύνην μάλιστα ἐν αὐτῷ τῷ κλίματι καὶ ταῖς πόλεσι ταῖς συνοικειουμέναις τῷ ζῳδίῳ, ἐν ᾧ συνοδεύουσιν, ἤγουν ταῖς ἐχούσαις ὡροσκόπουν τὸ ζῴδιον τῆς κτίσεως αὐτῶν· ἔσται δὲ εἰς τὸ πρῶτον τῆς συνόδου θάνατος, εἰς δὲ τὰ τελευταῖα ἀκρίβεια καὶ στενοχωρία, καὶ πάλιν δηλοῖ ὅτι τὸν βασιλέα τῆς αὐτῆς πόλεως, ἧς μετέχει τὸ ζῴδιον τῆς συνόδου, βλαβήσεσθαι· εἰ δὲ ἑξάγωνίζει ἢ τριγωνίζει, δηλοῖ ὅτι οἱ ἄνθρωποι πολλοὺς κόπους ἕξουσιν εἰς τὰς θρησκείας ὅπως διορθώσωσιν αὐτάς, καὶ ἀγαθοσύνην τῶν μαντατοφόρων καὶ τῶν ἀρχόντων καὶ εὐφροσύνην βασιλέων· εἰ δὲ τετραγωνίζει ἀπὸ τοῦ δ' οἴκου, δηλοῖ πολέμους καὶ ὀχλήσεις, κακίαν τε τῶν κρυπτῶν δουλειῶν, καὶ κλεπτῶν καὶ λῃστῶν πληθυσμόν, τυραννίδα πραγματευτῶν, κακοσύνην τῶν βασιλέων τῶν Μουσουλμάνων, θάνατόν τινων ἡσυχαστῶν καὶ μεγιστάνων, τῶν μετεχόντων ἐν τῷ ζῳδίῳ τοῦ Ἄρεως, καὶ πολιορκίαν τῶν πόλεων· εἰ δ' ἀπὸ τοῦ ζ', δηλοῖ πολέμους πολλοὺς μέσον τῶν ἀνθρώπων, θανάτους τε καὶ ἀσθενείας καὶ ἀπώλειαν τῶν δεσποτῶν τῆς πίστεως καὶ τοῦ μεγαλείου· εἰ δ' ἀπὸ τοῦ ι', ἕξουσιν οἱ ἀρχιερεῖς καὶ οἱ γέροντες ἐκ τῶν βασιλέων δυσκολίαν.

<Περὶ σχηματισμῶν Ἡλίου καὶ Διός.>

Ἡ σύνοδος Ἡλίου καὶ Διὸς δηλοῖ κακοσύνην τῶν εὐχετῶν καὶ ἡσυχαστῶν, γερόντων, καλῶν ἀνθρώπων καὶ λεῖψιν τῆς πίστεως, καὶ εἰς τοὺς πραγματευτὰς θλίψεις ἐπαχθεῖς, μάλιστα δὲ εἰς τοὺς πωλοῦντας ἐκ τῶν μετεχόντων τῆς φύσεως τοῦ Διός. Εἰ δὲ ἑξάγωνοι ἢ τριγωνικοί, αἱ δουλεῖαι τῶν ἀρχιερέων δυναταὶ ἔσονται καὶ εἰς τὰς κρίσεις αὐτῶν βάλλουσι μεθόδους. εἰ δὲ διάμετροι, εὑρήσουσιν οἱ σοφοὶ ἐκ βασιλέων κακοσύνην, εἰς δὲ τοὺς βασιλεῖς εὐφροσύνη ἔσται· εἰ δὲ τετράγωνοι,

3 ἀραβῶνα cod. 9 μάλλιστα cod. 19 δ' ἑ. cod. κόπους superscr. 21 μαντατοφόροι = qui mandata concedunt. 26 πολλιορκίαν τῶν πολλῶν cod. 31 περὶ σχηματισμῶν Ἡλίου καὶ Διός inserui.

Digitized by Google

δηλοῖ δύναμιν τῶν δουλειῶν τῶν ἀρχιερέων, ἀλλὰ βασιλεὺς ἄδικος γενήσεται.

<Περὶ σχηματισμῶν Διὸς καὶ Ἀφροδίτης.>

Ἡ σύνοδος τοῦ Διὸς καὶ τῆς Ἀφροδίτης δηλοῖ σωφροσύνην τῶν γυναικῶν, καὶ στᾶσιν τῶν λογισμῶν εἰς τοὺς οἰκείους αὐτῶν ἄνδρας, καὶ τὰς ὑποθέσεις τῶν μεγιστάνων καλάς, μάλιστα εἰς τὰς πόλεις τὰς μετεχούσας τοῦ ζῳδίου τῆς συνόδου αὐτῶν, καὶ εὐθηνίαν καὶ χαράν. ὁμοίως καὶ εἰς τὸ τετράγωνον τοῦ αὐτοῦ ζῳδίου· εἰ δὲ ἑξάγωνοι ἢ τριγωνικοί, δηλοῖ ὅτι αἱ δουλεῖαι τῶν γυναικῶν καλαὶ ἔσονται, καὶ σωφρονηθήσονται, εὐφροσύνην παιγνιωτῶν, χαρὰν σοφῶν καὶ τῶν μετεχόντων εἰς τὴν πίστιν, καὶ ὑετὸν κατὰ τὴν ὥραν αὐτοῦ· εἰ δὲ τετράγωνοι ἀπὸ τοῦ δ', δηλοῖ ἔλευσιν πολλῶν ἀποκρισιαρίων μέσον βασιλέων καὶ εὐφροσύνην τῶν δεσποτῶν τῆς πίστεως· εἰ δὲ διάμετροι, δηλοῖ ὄχλησιν ἀνδρογύνων περὶ τὴν πίστιν, καὶ τῶν παιγνιωτῶν ἀρέσκειαν, καὶ ὑετὸν εἰς τὴν ὥραν αὐτοῦ. εἰ δ' ἀπὸ τοῦ ι', δηλοῖ καλλοσύνην γυναικῶν, καὶ παρὰ βασιλέων ζήτησιν ἀναλλαγμάτων καὶ ἀρωμάτων, μυρεψικῶν, μεταλλικῶν, οἷον λίθους τιμίους, μαργάρους καὶ τὰ ὅμοια.

<Περὶ σχηματισμῶν Διὸς καὶ Ἑρμοῦ.>

Ὁπηνίκα συνοδεύσῃ ὁ Ζεὺς τῷ Ἑρμῇ, δηλοῖ ζήτησιν τῆς σοφίας παρὰ ἀνθρώπων, καὶ θερμασίας τῶν ἀνθρωπίνων σωμάτων, μᾶλλον, εἰ ἡ σύνοδός ἐστι εἰς τὸν καιρὸν τῆς θέρμης. εἰ δὲ ἑξάγωνος ἢ τριγωνικός, δηλοῖ χαρὰν τῶν φροντιστῶν καὶ τῶν γραμματικῶν καὶ πολλὰς συντυχίας καὶ ζητήσεις (f. 227v) μέσον τῶν σοφῶν, καὶ ὑετὸν εἰς τὴν ὥραν αὐτοῦ· εἰ δὲ τετραγωνικὸς ἀπὸ τοῦ δ', δηλοῖ ὀχλήσεις μέσον πτωχῶν, φανέρωσίν τε τῶν κρυφίων, εὐφροσύνην γραμματικῶν, μεταστροφήν τε τῶν γραφῶν καὶ τῶν ἀναγνώσεων καὶ πολλὰ μαντάτα καὶ βροχὴν πολλήν· εἰ δὲ διάμετρος, δηλοῖ ἐναντιώσεις μέσον πραγματευτῶν διὰ τὴν ἀγορὰν καὶ τὴν πρᾶσιν καὶ τὴν συμβίβασιν, ὑποστροφήν τε τῶν ἀποκρισιαρίων μετὰ χαρᾶς μέσον τῶν βασιλέων καὶ μεγιστάνων, καὶ ὑετὸν· εἰ δὲ τετράγωνος ἀπὸ τοῦ ι', δηλοῖ ζήτησιν παρὰ ἀνθρώπων καλῶν ἔργων καὶ δουλειῶν ἐνεργείας μᾶλλον ἐκ τῶν οἴκων τῶν βασιλέων.

<Περὶ σχηματισμῶν Διὸς καὶ Σελήνης.>

Ὁπηνίκα συνοδεύῃ ὁ Ζεὺς τῇ Σελήνῃ ἢ ἑξαγωνίζῃ ἢ τριγωνίζῃ, δηλοῖ ὅτι οἱ ἄνθρωποι καταγίνονται εἰς τὰ καλὰ ἔργα τῆς πίστεως καὶ εἰς κτίσματα ἐκκλησιῶν καὶ γεφυρῶν καὶ τῶν ὁμοίων. εἰ δὲ τετράγωνος καὶ διάμετρος ἀπὸ τοῦ δ' οἴκου, δηλοῖ ζήτησιν σοφίας καὶ σύνε-

3 περὶ σχηματισμῶν Διὸς καὶ Ἀφροδίτης inserui. 6 μάλλιστα cod. 16 ἀναλαγμάτων cod. 18 περὶ σχηματισμῶν Διὸς καὶ Ἑρμοῦ inserui. 33 περὶ σχηματισμῶν Διὸς καὶ Σελήνης inserui.

Digitized by Google

σιν, μεγαλεῖόν τε καὶ τιμὴν τῶν ἡσυχαστῶν, καὶ τῶν κρατούντων τὴν πίστιν, καὶ οἰκοδομὴν τῶν ἐκκλησιῶν καὶ τῶν εὐκτηρίων. εἰ δ' ἀπὸ τοῦ ι', δηλοῖ καλλοσύνην τῶν δουλειῶν τῶν γερόντων, μεγαλεῖόν τε τῆς τάξεως τῶν ἀρχιερέων καὶ μεγιστάνων.

Περὶ σχηματισμῶν Ἄρεως καὶ Ἡλίου.

Ὀπηνίκα συνοδεύσῃ ὁ Ἄρης τῷ Ἡλίῳ, δηλοῖ φόνους κλεπτῶν καὶ κράτησιν ληστῶν ὑπὸ χειρῶν βασιλέων· εἰ δὲ ἐξαγωνίζει ἢ τριγωνίζει, δηλοῖ φανέρωσιν βασιλέων καὶ δύναμιν τῆς χειρὸς αὐτῶν καὶ κίνημα στρατιᾶς, μαντάτα καλὰ ἔμπροσθεν τῶν βασιλέων, καὶ τῶν μεγιστάνων, κατανόησίν τε μηχανιῶν καὶ κακιῶν καὶ ἐπιβουλῶν, ἐμφάνειάν τε ληστῶν εἰς τὰς ὁδούς, καὶ ὑετὸν εἰς τὴν ὥραν αὐτοῦ· εἰ δὲ τετραγωνίζει ἀπὸ τοῦ δ' καὶ ἀπὸ τοῦ ζ' καὶ ἀπὸ τοῦ ι', δηλοῖ τάδε δύναμιν βασιλέων καὶ μεγιστάνων, θανάτους τε καὶ ἀσθενείας, καὶ ἐναντιώσεις μέσον βασιλέων καὶ μεγιστάνων, καὶ πολλὰς ὀχλήσεις καὶ ἐν<ν>οίας μέσον αὐτῶν, ὄχλησίν τε εἰς τὸν κόσμον καὶ ἀδικίαν. δηλοῖ καὶ θάνατον βασιλέως ἢ μεγιστάνου τοῦ τόπου ἐκείνου τοῦ ἀρχομένου ὑπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἄρης, καὶ δεσμόν τινων μεγιστάνων τοῦ τόπου τοῦ ζῳδίου, καὶ θανάτους πολλοὺς καὶ ἀσθενείας.

<Περὶ σχηματισμῶν Ἀφροδίτης καὶ Ἄρεως.>

Ἡ σύνοδος αὐτῶν δηλοῖ πορνείαν γυναικῶν καὶ κακὸν τέλος πολλῶν δουλειῶν αὐτῶν, φθοράν τε καὶ ἀπώλειαν τῆς γῆς τῶν Ῥωμαίων, καὶ τῶν μετεχόντων τοῦ Ῥούμελι καὶ κακοσύνην πολλήν· εἰ δὲ ἑξάγωνοι ἢ τρίγωνοι, δηλοῖ πολλὰς συνουσίας ἀνδρογύνων, εὐτοκίαν γυναικῶν, στρατιωτῶν εὐφροσύνην, συζητήματά τε τῶν βασιλέων μετὰ τῶν στρατιωτῶν, καὶ εὐθηνίαν τῶν σπερμάτων· εἰ δὲ τετράγωνοι ἀπὸ τοῦ δ', δηλοῖ πολυλογίας καὶ πορνείας γυναικῶν, καὶ θέαμα μέγα μέσον αὐτῶν, θάνατόν τε γυναικῶν καὶ βρεφῶν, φιλίαν τε γυναικῶν μετ' ἀνθρώπων ξενικῶν, καὶ πρᾶξιν κρυπτῶν δουλειῶν, ἔτι τε καὶ νέου βασιλέως ἤτοι παιδίου θάνατον. τὸ δ' αὐτὸ καὶ ἡ διάμετρος δηλοῖ. εἰ δ' ἀπὸ τοῦ ι', δηλοῖ τὰς ὑποθέσεις τῶν γυναικῶν κακὰς μᾶλλον τῶν δεσποινῶν, θέαμα μέγα ὑπὸ τῶν βασιλέων αὐτῶν.

<Περὶ σχηματισμῶν Ἄρεως καὶ Ἑρμοῦ.>

Ἡ σύνοδος Ἄρεως καὶ Ἑρμοῦ δηλοῖ πολλὴν γένεσιν ῥόδων καὶ τῆς κημίας καὶ τοῦ γιαουγλίθου, ἤγουν τοῦ ὑακίνθου, λίθων τε καὶ μαργάρων καὶ τῶν ὁμοίων, βλάβην δὲ καὶ ζημίαν τῶν πεπαιδευμένων καὶ

19 περὶ σχηματισμῶν Ἀφροδίτης καὶ Ἄρεως inserui. 26 πολλυλογίας cod. 30 desunt mentiones de exodo ex ζ' οἴκῳ 32 περὶ σχηματισμῶν Ἄρεως καὶ Ἑρμοῦ inserui.

Digitized by Google

φθορὰν τῶν ὀπωρῶν· εἰ δὲ ἑξάγωνοι, ἢ τρίγωνοι, δηλοῖ πολλὰς μετακινήσεις στρατιωτῶν καὶ βασιλέων, καὶ ἀναστροφὴν τῶν ἀποκρισιαρίων μέσον τῶν βασιλέων, μετὰ φιλίας, ζήτησίν τε τῶν δουλειῶν ὑπὸ τῶν μεγιστάνων λεπτομερῶς τῶν διὰ πυρὸς ἐνεργουμένων καὶ τῶν ὁμοίων. εἰ δὲ τετράγωνοι ἀπὸ τοῦ δ', δηλοῖ θάνατον τῶν κρατούντων τὰ κλίματα τοῦ ζῳδίου, καὶ θάνατον βασιλέως μικροῦ παιδίου, πολλάς τε ψευδολογίας καὶ κράτησίν τινων ἐκ τῶν μεγιστάνων, εὐθηνίαν τε τῶν τετραπόδων, κ////////ησιν φοσσάτου, ἐμφάνειαν ἁρμάτων (f. 228), ὀλίγα πολέμια, καὶ οἱ πάντες ἀγαπήσουσι τὴν πεῖραν τῶν ἁρμάτων· δηλοῖ καὶ κοπὴν πολλὴν εἰς τὴν τέχνην τῆς κημίας, εἰ δὲ διάμετροι, ἔσονται κακίαι καὶ δικαιολογίαι μέσον τοῦ λαοῦ, φόνοι κλεπτῶν καὶ λῃστῶν, κακοσύνη τῶν δουλειῶν τῶν ἐχόντων τὸ κλίμα τοῦ ζῳδίου, κράτησις φροντιστοῦ τινος καὶ παιδίου μικροῦ βασιλέως θάνατος· εἰ δ' ἐκ τοῦ ι', δηλοῖ ὑπὸ βασιλέων καὶ μεγιστάνων ζήτησιν τῆς κημίας, λίθων τε καὶ μαρτάρων.

<Περὶ σχηματισμῶν Ἄρεως καὶ Σελήνης.>

Ὀπηνίκα συνοδεύσει ὁ Ἄρης τῇ Σελήνῃ, δηλοῖ μέσον τῶν ἀνθρώπων ψευδεῖς λόγους πολλοὺς, αἵματος ἐκχυσίας τε καὶ θανατικὸν πολύ· εἰ δὲ ἑξαγωνίζει ἢ τριγωνίζει, ἔσονται οἱ ἄνθρωποι ἀπεστραμμένοι πρὸς φρόνησιν, ἐντρεχεῖς δὲ πρὸς μωρίας, ἔσται καὶ καλλοσύνη εἰς τὰς δουλείας τῶν μεγιστάνων· εἰ δ' ἀπὸ τοῦ δ' τετραγωνίσει, δηλοῖ ἀδικίαν τῶν βασιλέων εἰς τοὺς παροίκους· εἰ δ' ἀπὸ τοῦ ζ', δηλοῖ πολέμους πολλοὺς καὶ ἔρι<δα>ς, κακίας τε καὶ δυναστείας πολλὰς μέσον τῶν ἀνθρώπων· εἰ δὲ ἐκ τοῦ ι', δηλοῖ ἀδικίας τῶν βασιλέων καὶ τοῦ στρατοῦ καὶ ἀλαζονείαν τοσαύτην, ὥστε τινὸς δέησιν οὐκ εἰσακούσονται.

Περὶ συνόδου Ἡλίου καὶ Ἀφροδίτης.

Ἡ σύνοδος Ἡλίου καὶ Ἀφροδίτης δηλοῖ εἰς τὸ Κοχστάν, ὅς ἐστι τόπος τῶν Τούρκων, πολλὴν βλάβην καὶ μέσον αὐτῶν πολέμους καὶ κακίας, καὶ πλῆθος θανάτου εἰς τὰς γυναῖκας καὶ εἰς τοὺς παιγνιώτας, καὶ ὑετὸν καὶ ψῦξιν καὶ ἄνεμον.

<Περὶ συνόδου Ἡλίου καὶ Ἑρμοῦ.>

Ὀπηνίκα συνοδεύσῃ ὁ Ἥλιος τῷ Ἑρμῇ, δηλοῖ πλῆθος κρυπτῶν δουλειῶν εἰς τοὺς ἀνθρώπους, μᾶλλον δ' εἰς τὴν σοφίαν καὶ γνῶσιν, ὑετόν, βροντάς, ἀστραπὰς κατὰ τὴν ὥραν αὐτῶν καὶ κονιορτόν, θάνατόν τε καὶ ἀσθένειαν καὶ ζημίαν ταπεινοῖς γραμματικοῖς καὶ ἀναγνώσταις.

8 φοσάτου cod. 10 κημία ex Arab. *Kīmia* pro graeco χυμεία. 16 περὶ σχηματισμῶν Ἄρεως καὶ Σελήνης inserui. 18 πολλύ cod. 23 ἔρις cod. 25 οὐχ' cod. 31 περὶ συνόδου Ἡλίου καὶ Ἑρμοῦ inserui.

Digitized by Google

<Περὶ σχηματισμῶν Ἡλίου καὶ Σελήνης.>

Ὀπηνίκα συνοδεύσῃ ὁ Ἥλιος τῇ Σελήνῃ, δηλοῖ φυτὴν καὶ κρύψιν ἀνθρώπων, καὶ πλῆθος κρυπτῶν δουλειῶν· εἰ δ' ἀπὸ τοῦ οἴκου τοῦ δ' τριγωνίζει ἢ ἑξαγωνίζει, ἡ δουλεία τοῦ κοινοῦ λαοῦ δυσκόλως γενήσεται καὶ οὐ στερεοῦται εἰς τάξιν μίαν, οἱ δὲ περὶ τῶν βασιλέων κρυπτοὶ φανε- 5 ρωθήσονται. εἰ δ' ἀ<πὸ τοῦ ζ'> ἑξαγωνίζει ἢ τριγωνίζει, δηλοῖ φανέρωσιν τῶν κρυπτῶν δουλειῶν· εἰ δὲ διαμετρεῖ, δηλοῖ δικαιολογίας πολλὰς μέσον τοῦ κοινοῦ λαοῦ· εἰ δ' ἀπὸ τοῦ ιγ', τὰ μυστήρια τῶν βασιλέων φανερωθήσονται, ἔσται δὲ καὶ πλῆθος ψευδολογίας.

Περὶ <σχηματισμῶν> Ἑρμοῦ <καὶ> Ἀφροδίτης. 10

Ὀπηνίκα συνοδεύσῃ ὁ Ἑρμῆς τῇ Ἀφροδίτῃ ἢ ἑξαγωνίσῃ, δηλοῖ ψεύδη καὶ ψευδολογίας πολλάς, εὐφροσύνην δὲ τῶν φροντιστῶν καὶ γραφόντων γραμματικῶν, καὶ νάχρη καὶ ἄπαρ (?), καὶ πόθον εἰς μαθήματα τῆς μελῳδίας, καὶ μέσον τῶν μεγιστάνων φιλίαν, ἄνεμόν τε καὶ ὑετὸν εἰς τὴν ὥραν αὐτοῦ. 15

<Περὶ σχηματισμῶν Ἀφροδίτης καὶ Σελήνης.>

Ἡ σύνοδος Ἀφροδίτης καὶ Σελήνης δηλοῖ ὁμιλίας καὶ τραγῳδίας καὶ παίγνια πολλά, καὶ πάντων ἀνθρώπων ἐπαγωγὴν πρὸς αὐτά, ζήτησίν τε μυρωδίας καὶ ἀνθῶν καὶ ἀρωμάτων· εἰ δὲ ἑξάγωνοι ἢ τρίγωνοι, δηλοῖ ζήτησιν κιθάρας καὶ μουσικῶν παντοίων καὶ μελῳδίας, καὶ διατριβὰς 20 εἰς τόπους πεδινούς· εἰ δ' ἀπὸ τοῦ δ' ἢ ἀπὸ τοῦ ι', δηλοῖ τοῖς ἀνθρώποις φόβον καὶ ζημίαν· εἰ δὲ διάμετροι, γλωσσεύματα, δικαιολογίας καὶ πολυλογίας πολλάς.

<Περὶ σχηματισμῶν Ἑρμοῦ καὶ Σελήνης.>

Ὀπηνίκα συνοδεύσῃ ὁ Ἑρμῆς τῇ Σελήνῃ, δηλοῖ ζήτησιν σοφίας καὶ 25 μυστηρίων φανέρωσιν· εἰ δὲ ἑξαγωνίζει ἢ τριγωνίζει ἡ Σελήνη, εἴπερ ἐστὶν ἀγαθουμένη, οἱ ἄνθρωποι ζητήσουσι σοφίαν, κατὰ τὴν αὐτὴν ἡμέραν· εἰ δὲ κεκακωμένη ἐστὶν ἡ Σελήνη, τὰ ἐναντία τῆς σοφίας ποιήσουσιν· εἰ δὲ τετραγωνίζει ἀπὸ τοῦ δ', δηλοῖ ψευδολογίας καὶ συζητήσεις καὶ δικαιολογίας περὶ φιλοσοφίας· εἰ δὲ διαμητρεῖ καί ἐστιν ἡ 30 Σελήνη ἀγαθουμένη, δηλοῖ τὰς δικαιολογίας καὶ τὰς φιλονεικίας διὰ τὸ δίκαιον καὶ τὴν ἀλήθειαν· εἰ δὲ κεκακωμένη, δηλοῖ δικαιολογίας εἰς τὸ ψεῦ<δ>ος καὶ τὸ ἄδικον· εἰ δ' ἀπὸ τοῦ ι', καὶ ἡ Σελήνη (f. 228ᵛ) ἀγαθουμένη, δηλοῖ κατάληψιν τῶν ὑποθέσεων τῆς πίστεως καὶ τῆς ἀληθείας· εἰ δὲ κεκακωμένη, δηλοῖ βεβαίωσιν τοῦ ψεύδους καὶ τῆς ἀδικίας. 35

A. O.

1 περὶ σχηματισμῶν Ἡλίου καὶ Σελήνης ins. 6 post εἰ δ'ἀ. sqr. spatium vacuum, cod. 10 σχηματισμῶν ... καὶ ins. 16 περὶ σχηματισμῶν Ἀφροδίτης καὶ Σελήνης ins. 24 περι σχηματισμῶν Ἑρμοῦ καὶ Σελήνης ins.

Digitized by Google

F. 267. Κρίσις Ἀλεὶμ υἱοῦ Ἰσαὰχ ἔχουσα χρήσιμόν τι καὶ ἀποδεικνύουσα πῶς ἐπὶ τοῦ αὐτοῦ πράγματος ἐρωτηθείς, ἄλλο καὶ ἄλλο συνέβη, καθὼς εἶπεν, καὶ ἕτερα αὐτοῦ χρήσιμα [1].

Καθημένου τοῦ Ἀπομάσαρ καὶ ὁμιλοῦντος υἱῷ Μωσέως Μου-
5 χούμη καὶ Ἀλεὶ υἱῷ Ἰχιὲ ἀστρολόγοις, εἰσῆλθεν αὐτῷ ὁ υἱὸς τοῦ Φαρουχανὶ Ἰσῆς λέγων κρατῆσαι ὕψωμα ἀνθρώπου ἔχοντος κατ' αὐτοῦ· ὁ δὲ ποιήσας <θεμάτιον>, εὑρέθη ὡροσκοπῶν ὁ Ζυγός, ὁ Ἥλιος ἐν τῇ Παρθένῳ, ἡ Ἀφροδίτη ἐν τῇ ἀρχῇ τοῦ Σκορπίου, ὁ Κρόνος ἐν τῷ Ὑδροχόῳ καὶ ὁ Ἄρης ἐν τῷ Λέοντι, καὶ ἀπεφήνατο τὴν μὲν δύναμιν
10 τῆς κακώσεως καὶ ἐναντίωσιν τῶν δύο κακοποιῶν ἀστέρων, ἔλαβεν *** καὶ μέλλεις ἡττηθῆναι παρὰ τοῦ ἀντιδίκου σου· καὶ ἀπέδειξε τὴν τοιαύτην κρίσιν ὁ Ἀπομάσαρ τοῖς συγκαθημένοις μετ' αὐτοῦ ἀστρολόγοις καὶ ἔγνωσαν ἀληθῶς εἰρηκέναι αὐτῷ.

Μετὰ δὲ παρέλευσίν τινων ἡμερῶν, τοῦ Ἀπομάσαρ καὶ αὖθις ὁμι-
15 λοῦντος αὐτοῖς, ἠρώτησέ τις τὸν Ἀπομάσαρ περὶ ἀνθρώπου ἀντικειμένου αὐτῷ· καὶ ποιήσας θεμάτιον, εὗρεν ὡροσκοποῦντα τὸν Κριὸν καὶ τὸν κύριον αὐτοῦ Ἄρην ἐν τῷ Λέοντι, διαμετροῦντα τὸν Κρόνον μοιρικῶς, τὸν δὲ Κρόνον ἐν τῷ Ὑδροχόῳ καὶ τὴν Ἀφροδίτην ἐν τῷ Τοξότῃ, καὶ εἶπε τῷ ἐρωτήσαντι· μέλλεις μὲν περιπεσεῖν εἰς φόβον καὶ δειλίαν
20 καὶ ἐναντίωσιν πλὴν βλάβης· ἐλευθέρωσε γὰρ τοῦ κινδύνου. ἀπεφήναντο δὲ οἱ ὁμιλοῦντες αὐτῷ ψευδῆ λαλεῖν· ἐπεὶ γὰρ ἐπὶ τὸ χθὲς ἐρώτημα ἔκρινεν ἡττηθῆναι τὸν τῆς ἐρωτήσεως κύριον, διὰ τὸ τὸν κύριον τοῦ ὡροσκόπου εὑρεθῆναι εἰς τὸ τρίγωνον τῶν δύο κακοποιῶν, πῶς ἐν τῷ παρόντι ἐρωτήματι, ἀπεφήνω ἐλευθερωθῆναι τὸν κινδυνεύοντα βλέ-
25 ποντα καὶ ταῦτα τοῦ Ἄρεως καὶ τοῦ *** καὶ τοῦ Ἄρεως ἐκ διαμέτρου μοιρικῶς τὸν Κρόνον τὸν τοῦ κυρίου κακοποιόν. ὁ δὲ εἶπεν ὅτι ἠλλάγησαν οἱ ἄνεμοι καὶ ἐπαύθη τὸ σχῆμα διάμετρον καὶ οὕτωσι γενομένου, ἔγνωσαν εἰρηκέναι καλῶς, λεπτομερῶς ἐκείνων εἰδὼς τὴν τέχνην. παρήγγειλε δὲ τούτοις τὸ μάθημα· δεῖ προσέχειν καὶ μὴ κρίνειν βλαβῆναί
30 τινα εἰ εὑρίσκεται ἐν ταῖς ἐρωτήσεσι καὶ τοῖς γενεθλίοις τοιαῦτα σχήματα, ἤγουν οἷ ψηφισθῶσι παρ' ἡμῶν τὰ πλάτη· καὶ εἰ μὲν εὑρεθῇ τὸ πλάτος τῶν τοιούτων ἀστέρων ἐν ἀνέμῳ ἑνί, λέγε, ὡς ὁ τοιοῦτος βλαβήσεται, εἰ δὲ οἱ ἄνεμοι ἀλλάσσουσι καὶ ὁ μὲν εἷς ἐστι νότιος, ὁ δὲ ἕτερος βόρειος, λέγε ὡς κίνδυνος μὲν ἔς τι πλὴν ἐξ αὐτοῦ λυτρωθήσεται· —
35 Ὁ αὐτὸς εἶπεν· εἴπερ εὑρεθῇ ὁ Κρόνος ἀκάκωτος, καὶ βλέπῃ ἀπὸ σχήματος ἀγαθοῦ, τὸ ἐξ αὐτοῦ διδόμενόν τινι ἀγαθόν, ἀμετάτρεπτόν ἐστιν, ἰδίως δὲ ἐπικρατήσει τοῦτο καὶ ἐπὶ παισὶ καὶ τοῖς τέκνοις αὐτοῦ ἐπὶ

7 θεμάτιον inserui. 10 post ἔλαβεν signum posui lacunae; in cod. ἡ invenimus. 11 ἡ cum signo obscuro. 25 post τοῦ alterum spatium vacuum. 28 ἤγνωσαν cod. λεπτοτέρως cod. 33 ἀλάσουσι cod.

[1] Haec Κρίσις invenitur in eodem codice Angelicano 29, f. 259, et in cod. Palatino Vatic. 312, f. 160ᵛ.

Digitized by Google

χρόνοις πολλοῖς. ἐὰν ὁ Κρόνος εὑρεθῇ κρατῶν τὸν ὡροσκόπον, τὸ κρυπτόμενον τεκμήριον ἔσται ἀφανές· ὁ Κρόνος καὶ Ἄρης ἐὰν ἐπὶ τῆς ἰδίας κράσεως μένωσι μηδενὶ τῶν ἀγαθοποιῶν συνοδεύοντες ἢ σχηματιζόμενοι, ἀγαθὰ οὐ δηλοῦσιν.

Εἶπέ τις αὐτῷ τῷ Ἀπομάσαρ· τί κατέχω νῦν ἐν τῇ καρδίᾳ μου; εἶπεν αὐτῷ· περὶ θεοῦ. ἐπεὶ ὁ ἀναβιβάζων εὑρέθη ἐν τῷ μεσουρανήματι καὶ <ὁ> κύριος τοῦ ὡροσκόπου συνοδεύει αὐτῷ, καὶ οἱ λοιποὶ ἀστέρες ἐν ἀποκλίμασι βλέποντες ἀπὸ ἑξαγώνου τὸν κύριον τοῦ ὡροσκόπου, ἡ δὲ μοῖρα ἑκάστου ἦν ὑψηλοτέρα παντὸς κύκλου, οὐκ ἔγνων ἕτερόν τι ὅμοιον φαίνεσθαι ἄλλ' ἢ τὸν θεόν, διὰ τὸ τὰς θεοῦ δυνάμεις φαίνεσθαι, αὐτὸν δὲ οὐδαμῶς. εἴπερ (?) ἐρωτηθεὶς παρά τινος περὶ ἀνθρώπου ἀποδημοῦντος, ὁ αὐτὸς ἔφη· καὶ εὑρίσκεται ὁ κύριος τοῦ ὡροσκόπου ἐν τῷ γ' ἢ ἐν τῷ η', μεταβαίνων ἀπὸ ζῳδίου εἰς ζῴδιον, καὶ Ἥλιος ἀποκλίνων ἀπὸ τοῦ μεσουρανήματος εἰς τὸν θ' καὶ ἡ Σελήνη ἐν κέντρῳ οὐχ εὑρίσκεται οὔτε σχηματίζεται παρά τινος τῶν ἀστέρων ἐν τῷ κέντρῳ· εἶπε ὅτι μετέβη, χωρίς τινος λόγου. A. O.

F. 267v. Θεμάτιον ἐγχαραχθὲν παρὰ τοῦ φιλοσόφου Ἐλευθερίου τοῦ Ζεβεληνοῦ χρήσιμον εἰς πολλά, καὶ περὶ χρόνων ζωῆς τοῦ ἐρωτῶντος καὶ τῶν διὰ τῶν χρόνων τούτων ἐπιγ<ενησομένων αὐτῷ> [1].

Ἐπεὶ ἐν ταῖς καθολικαῖς ἐρωτήσεσιν ὁ περὶ χρόνων ζωῆς προηγεῖται λόγος, καθὼς ὁ ἐπὶ σοφίας <οὐ> περίπτυστος Πτολεμαῖος καὶ πάντες οἱ παλαιοί φασι, πρῶτον καὶ ἡμεῖς περὶ τῶν χρόνων τῆς ζωῆς ἐξετάσωμεν· καὶ ἐπεὶ ὁ μὲν Ἥλιος εὑρέθη ἐν τῷ η' τόπῳ, ἡ δὲ Σελήνη ἐν τῷ ς', καὶ ἁπλῶς οἱ δύο φωστῆρες παραπεσόντες εὑρέθησαν ἐν τῷ θεματίῳ, ἐλάβομεν τὸν Ἄρην ἀφέτην κατὰ τὸν τοῦ μεγάλου Πτολεμαίου λόγον, ὡς οἰκοδεσπότην τοῦ Ἡλίου, καὶ τὸν οἰκοδεσπότην Σελήνης Ἑρμῆν καὶ ὡς ὑψοκράτην <?> τοῦ μεσουρανήματος, ὃς καὶ δίδωσι τὰ μέσα ἔτη τῆς περιόδου αὐτοῦ ἔτη μ'· εἰ δὲ καὶ τὴν Ἀφροδίτην ἀφέτην λάβωμεν, ὡς κυρίαν τοῦ ὡροσκόπου καὶ ὡς κειμένην ἐν τῷ μεσουρανήματι ἐν ἰδίῳ τριγώνῳ καὶ ὡς κυρίαν τοῦ Ἡλίου καὶ τῆς Σελήνης, δίδωσι καὶ αὐτὴ τὰ μέσα ἔτη τῆς περιόδου αὐτῆς ἔτη μ' καὶ ϛς'. ὅμως οἱ περίπατοι τοῦ Ἄρεως τῆς τε Ἀφροδίτης καὶ τοῦ Ἡλίου καὶ τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου, δείξουσι καθαρωτέραν τὴν ποσότητα τῶν χρόνων τῆς ζωῆς τοῦ κυρίου τῆς ἐρωτήσεως. ἐπεὶ οὖν τὸν Ἄρην ἀφέτην ἐλάβομεν, λαμβάνομεν τὸν Δία ἀνέτην, ὡς κύριον τοῦ ὁρίου τοῦ Ἄρεως, καὶ ὡς ἀπὸ τετραγώνου συσχηματιζόμενον αὐτῷ· καὶ ἐπεὶ

11 An ἔπειτα. 21 οὐ inserui. 29 λάβομεν cod.

[1] Fragmentum hoc Eleutherii Zebeleni, qui nobis quidem ignotus est, exstat quoque in cod. Angelicano 29, f. 224, cap. σμ' et in cod. Palatino Vatic. 312, f. 161. Eleutherius astrologus Eleus saeculi XIV codicem Angelicanum 29 suscripsit (cf. *Catal Flor.*, p. 38, n. 1).

Digitized by Google

ὁ Ζεὺς ὕπαυγος εὑρέθη καὶ ὁ λόγος τῆς ἀνέσεως ἀπρακτεῖ, ὅμως ἀπὸ τῶν περιπάτων τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης, ληψόμεθα καθαρωτέραν τὴν ποσότητα τῶν χρόνων τῆς ζωῆς τοῦ κυρίου τῆς ἐρωτήσεως· ἐκινήσαμεν τοίνυν τὸν περίπατον τοῦ Ἄρεως εἰς τὸ λαιὸν τοῦ Κρόνου τετράγωνον, καὶ εὕρομεν αὐτὸν καταλαμβάνοντα εἰς τὸ τοιοῦτον τοῦ Κρόνου τετράγωνον, κατὰ τὸν ς' μῆνα τοῦ λβ' ἔτους· καί ἐστιν ὁ τοιοῦτος κλιμακτὴρ ἐναντίος, διὰ τὸ γίνεσθαι καὶ ἐν ὁρίοις Ἄρεως, δηλοῖ δὲ νόσον, ἀπὸ ῥευματικῆς τινος διαθέσεως ἢ ἀπὸ νόσου τινὸς ἐπιγενομένης ἐν τοῖς ἄστρα(f. 268)γάλοις καὶ τοῖς οἰκείοις ποσίν, ἢ ἀπὸ ῥιγοπυρέτων· δηλοῖ δὲ καὶ χάριν θείων καὶ ἱερῶν πραγμάτων κοινῶν ζημίαν καὶ καινοτομίαν, πλὴν βοήθειαν ἔχει μεγάλην ὁ κλιμακτὴρ διὰ τὸ τριγωνίζειν τὸν Ἥλιον τὴν μοῖραν τὴν κλιμακτηρικήν· εἶτα καταλαμβάνει ὁ περίπατος τοῦ Ἄρεως εἰς τὴν διάμετρον τῆς Σελήνης περὶ τὸ τέλος τοῦ λγ' ἔτους· καί ἐστιν ὁ τοιοῦτος κλιμακτὴρ ἐναντίος διὰ τὸ γίνεσθαι σύνεγγυς τῆς μέσης περιόδου τοῦ Ἄρεως, δηλοῖ δὲ νόσον ἀπὸ δυσεντερίας ἢ ἀπό τινος ὀδύνης ἐπιγενομένης περὶ τὴν κύστιν ἢ τὴν γαστέρα ἀφ' ἧς καὶ καυσώδεις πυρετοὶ ἐπιγενήσονται τῷ κυρίῳ τῆς ἐρωτήσεως. καὶ δεῖ παρατηρεῖσθαι τοὺς τοιούτους καιρούς, καὶ προσεπιστῆναι πολλὴν ἐπὶ τῷ σώματι προσοχὴν ὥστε προκαθᾶραι τοῦτο εἰς τὸ δέξασθαι τοὺς εἰρημένους κλιμακτῆρας· μετὰ γοῦν τὸν περίπατον τοῦ Ἄρεως, ἐκινήσαμεν καὶ τὸν περίπατον τῆς Ἀφροδίτης καὶ εὕρομεν αὐτὸν καταλαμβάνοντα εἰς τὸ σῶμα τοῦ Ἄρεως κατὰ τὸν δ' μῆνα τοῦ λς ἔτους· καί ἐστιν ὁ τοιοῦτος κλιμακτὴρ ἐναντίος, διὰ τὸ γίνεσθαι σύνεγγυς τῆς μέσης περιόδου τοῦ Ἄρεως· δηλοῖ δὲ ὁ τοιοῦτος κλιμακτὴρ νόσον ἀπὸ καυσώδους πυρετοῦ ἢ ἀπὸ πλησμονῆς αἵματος ἢ ἀπὸ σιδήρου καὶ τομῆς <καὶ> καύσεως. πάλιν ἐκινήσαμεν τὸν περίπατον Ἀφροδίτης εἰς τὸ ζῳδιακὸν τετράγωνον τοῦ Ἡλίου καὶ εὕρομεν αὐτὸν καταλαμβάνοντα εἰς αὐτὸ κατὰ τὸν ς' μῆνα τοῦ με' ἔτους. καὶ ἐπεὶ κατὰ τὴν μέσην περίοδον τῆς Ἀφροδίτης γίνεται ὁ τοιοῦτος κλιμακτήρ, οὐχ ὑπερβήσεται ὁ κύριος τῆς ἐρωτήσεως τοῦτον τὸν κλιμακτῆρα, ἀλλ' ἐν αὐτῷ τὸ τέλος τῆς ζωῆς ἀπολήψεται. ὅμως σκοπήσωμεν λεπτομερέστερον περὶ τῶν χρόνων τῆς ζωῆς τοῦ κυρίου τῆς ἐρωτήσεως καὶ ἀπὸ τῶν ἑτέρων σημείων. καταλαμβάνει τοίνυν ὁ περίπατος τοῦ Ἡλίου εἰς τὸ σῶμα τοῦ Κρόνου κατὰ τὸν δ' μῆνα τοῦ κθ' ἔτους, ἐπιμερίζοντος τοῦ Ἄρεως, καὶ δηλοῖ κλιμακτῆρα τῷ κυρίῳ τῆς ἐρωτήσεως ἀπὸ ῥιγοπυρέτων ἢ ἀπό τινος ὀδύνης ἐπιγενησομένης περὶ τοὺς μηροὺς καὶ τοὺς βουβῶνας καὶ τὰ μέσα μέρη τοῦ σώματος. εἶτα πάλιν ἐκινήσαμεν τὸν περίπατον τῆς Σελήνης εἰς τὸ τέλος τοῦ Ζυγοῦ εἰς τὴν ἀρχὴν τοῦ μεσουρανήματος, καὶ εὕρομεν αὐτὸν καταλαμβάνοντα ἀπὸ ὁρίων Ἄρεως ἐπὶ ὅρια Ἀφροδίτης (?) κατὰ τὸν η' μῆνα τοῦ κγ' ἔτους. καί ἐστιν ἡ τοιαύτη μετάβασις ἐναντία· δηλοῖ γὰρ κλιμακτῆρα σωματικὸν ἀπὸ θερμότητος. εἶτα καταλαμβάνει ὁ περίπατος τῆς Σελήνης εἰς μοῖραν τοῦ

22 σῶμα] cf. v. 34 et p. 138, v. 15. 30 οὐχὶ περβήσεται cod.

Digitized by Google

ταπεινώματος αὐτῆς, κατὰ τὸν κς' χρόνον, καὶ δηλοῖ τὸν κλιμακτῆρα τῷ κυρίῳ τῆς ἐρωτήσεως· εἶτα καταλαμβάνει ὁ περίπατος τῆς Σελήνης εἰς τὸ ζῳδιακὸν τοῦ Ἄρεως τετράτωνον, περὶ τὰς ἀρχὰς τοῦ λζ' ἔτους ἤγουν σύνεγγυς τῆς μέσης περιόδου τοῦ Ἄρεως, καὶ δηλοῖ καὶ τοῦτο κλιμακτῆρα σωματικὸν τῷ κυρίῳ τῆς ἐρωτήσεως, ἀπὸ θερμότητος ἢ ἀπὸ αἵματος ἢ ἀπὸ σιδήρου ἢ ἀπὸ πληγῆς καὶ κρούσματος. ἐπεὶ γοῦν ἀπὸ τῶν περιπάτων διάφοροι κλιμακτῆρες εὑρίσκονται, λέγομεν ὡς εἰ διέλθῃ ὁ κύριος τῆς ἐρωτήσεως τοὺς ἐν μέσῳ κλιμακτῆρας, ἤγουν τὸν ἐν τῷ λβ' ἔτει, τῷ τε λγ', καὶ τῷ λς', διαρκέσει ἡ τούτου ζωὴ μέχρι καὶ τοῦ με' ἔτους ψηφιζομένη ἀπὸ τῆς ἡμέρας καὶ ὥρας τῆς ἐρωτήσεως. ἐπεὶ δὲ καὶ ὁ περίπατος τῆς μοίρας τοῦ ὡροσκόπου εἰς τὴν διάμετρον καταλαμβάνει τοῦ Κρόνου (?) κατὰ τὸν μς' χρόνον, βεβαίωσίς ἐστι καὶ τοῦτο πλείων, ὡς διαρκέσει ἡ ζωὴ τοῦ κυρίου τῆς ἐρωτήσεως μέχρι τοῦ με' ἔτους.

Καὶ ταῦτα μὲν ἐκρίναμεν καθολικῶς περὶ τῶν χρόνων τῆς ζωῆς τοῦ κυρίου τῆς ἐρωτήσεως. περὶ δὲ τῶν ἐν μέσῳ εὐτυχιῶν καὶ τῶν ἑπομένων πάλιν εἴπομεν. κατέλαβε τοίνυν ὁ περίπατος τῆς μοίρας τοῦ ὡροσκόπου εἰς τὸν ἐπιμερισμὸν τοῦ Ἑρμοῦ κατὰ τὸ τέλος τοῦ κγ' ἔτους, καὶ ἐδήλωσεν ὡς ὁ κύριος τῆς ἐρωτήσεως ὠφεληθήσεται ἀπὸ λογίου τινὸς ἀνθρώπου καὶ σοφοῦ, καὶ ὡς ἐνεργήσει δουλείας γραφικὰς καὶ λογικὰς καὶ διὰ ταύτας ὠφεληθήσεται. καὶ πρὶν ὁ τούτου βίος καὶ τιμὴν λήψεται καὶ διαρκήσουσι τὰ προειρημένα τοιαῦτα ἀγαθὰ μέχρι καὶ αὐτοῦ τοῦ τέλους τοῦ κς' ἔτους καί τινων μηνῶν ἀπὸ τοῦ κζ' ἔτους. καὶ ὠφεληθήσεται μεγάλως καὶ τιμηθήσεται ὁ κύριος τῆς ἐρωτήσεως ἐν τοῖς ῥηθεῖσι τούτοις ἔτεσιν, ἴσως δὲ καὶ ἐξ αἰτίας γυναικείου τινὸς προσώπου ἐπιγενήσονται αὐτῷ τὰ προειρημένα καλὰ διὰ τὸ κεῖσθαι τὸν ἐπιμερίζοντα Ἑρμῆν ἐν τῷ ζ' τόπῳ τῷ δη(f. 268v)λωτικῷ τῶν γυναικῶν. εἶτα μεταβαίνει ὁ περίπατος τοῦ ὡροσκόπου ἀπὸ ὁρίων Ἑρμοῦ ἐπὶ ὅρια Διὸς ἐπὶ τῆς ἀρχῆς τοῦ κζ' ἔτους καὶ ἐπιμερίζει Ζεὺς ἔτη δ' μῆνας η', γινόμενα διὰ πάντων ἔτη λ' μῆνες η'. καὶ δηλοῦται ὡς ἐν τούτοις τοῖς ε' ἔτεσι μεριμνήσει ὁ κύριος τῆς ἐρωτήσεως καὶ μελετήσει περὶ σωτηρίας ψυχῆς καὶ περὶ τῶν ἐκεῖθεν ἀγαθῶν καὶ ῥέψει πρὸς τὸ ἀποχαρῆναι καὶ φροντίσει περὶ θανάτου καὶ διαλογισθήσεται, ἴσως δὲ καὶ διὰ χρήματα λυπηθήσεται. εἶτα μεταβαίνει ὁ περίπατος τοῦ ὡροσκόπου ἀπὸ ὁρίων Διὸς ἐπὶ ὅρια Ἀφροδίτης καὶ ἐπιμερίζει ἡ Ἀφροδίτη ἔτη ἕτερα ε', γινόμενα διὰ πάντων ἔτη λε' καὶ μῆνες ε', καὶ δηλοῦται ὡς ἐν τούτοις τοῖς ἔτεσι τοῦ ἐπιμερισμοῦ τῆς Ἀφροδίτης χαρήσεται ὁ κύριος τῆς ἐρωτήσεως καὶ ἀνάπαυσιν ἕξει σωματικὴν καὶ εὐζωΐαν, καὶ ὁμιλήσει μετὰ γυναικὸς καὶ εὐθυμήσει· ἐν δὲ τούτῳ τῷ ἐπιμερισμῷ τῆς Ἀφροδίτης καταλαμβάνει ὁ περίπατος τοῦ ὡροσκόπου εἰς τὸ σῶμα τοῦ ἀναβιβάζοντος περὶ τὸ τέλος τοῦ λε' ἔτους, καὶ δηλοῖ σωματικὴν νόσον τῷ κυρίῳ τῆς

41 σῶμα] cf. p. 133, 22.

Digitized by Google

ἐρωτήσεως ἀπὸ ἀναδόσεως ἢ ἀπό τινος ὀδύνης ἐπιγενησομένης περὶ τὴν κεφαλήν. εἶτα μεταβα<ί>νει ὁ περίπατος τοῦ ὡροσκόπου ἀπὸ ὁρίων Ἀφροδίτης ἐπὶ ὅρια Ἄρεως κατὰ τὸ μέσον τοῦ λς' ἔτους, καὶ ἐπιμερίζει ὁ Ἄρης ἔτερα ἔτη ζ' καὶ μῆνας θ', γινόμενα διὰ πάντων ἔτη
5 μβς'<*sic*> καὶ δηλοῖ ὡς ἐν τούτοις τοῖς χρόνοις ἐπίνοσον ἔσται τὸ σῶμα τοῦ κυρίου τῆς ἐρωτήσεως, καὶ νόσοις ἀλλεπαλλήλοις προσταλαιπωρήσει, καὶ μᾶλλον ἀπὸ θερμότητος, πλὴν ἐπεὶ καταλαμβάνει ὁ περίπατος εἰς τὸ ζῳδιακὸν τοῦ Ἄρεως τρίγωνον, περὶ τὸ μέσον τοῦ λζ' ἔτους, ὠφεληθήσεται ὁ κύριος τῆς ἐρωτήσεως ἀπὸ ἀρχηγοῦ τινος
10 ἐνδόξου ἢ στρατιώτου, ἢ ἀπό τινος ἐναντίου. εἶτα καταλαμβάνει ὁ περίπατος τοῦ ὡροσκόπου εἰς τὴν διάμετρον τοῦ κύκλου περὶ τὰ τέλη τοῦ μς' ἔτους, καὶ δηλοῖ τοῦτο κλιμακτῆρα τῷ κυρίῳ τῆς ἐρωτήσεως ἀπὸ ῥευματικῆς τινος διαθέσεως, ἢ ἀπὸ κατάρρου, ὃν κλιμακτῆρα οὐ δυνήσεται ἐκφυγεῖν ὁ κύριος τῆς ἐρωτήσεως, ἀλλ' ἐν αὐτῷ τῷ ἔτει
15 τὸ τέλος τῆς ζωῆς ἀπολήψεται.

Μετὰ τὸν περίπατον τοῦ ὡροσκόπου ποιοῦμεν καὶ τὸν τῆς Ἀφροδίτης περίπατον· καταλαμβάνει τοίνυν ὁ περίπατος τῆς Ἀφροδίτης εἰς τὸν ἐπιμερισμὸν τὸν οἰκεῖον, ἤγουν εἰς τὰ ὅρια ταύτης, περὶ τὸ μέσον τοῦ κδ' ἔτους, καὶ δηλοῖ ὡς ὠφεληθήσεται ὁ κύριος τῆς ἐρωτήσεως, καὶ
20 ἐνωθήσεται γυναικὶ καὶ εὐθυμήσει καὶ προστεθήσεται τῇ ἐπιμελείᾳ τοῦ σώματος καὶ καθαρειότητι καὶ τῇ εὐζωΐᾳ καὶ αὔξησιν ἡ τούτου τιμὴ καὶ ὁ βίος αὐτοῦ δέξεται. εἶτα καταλαμβάνει ὁ περίπατος τῆς Ἀφροδίτης εἰς τὸ ζῳδιακὸν τετράγωνον τοῦ Ἑρμοῦ περὶ τὸ τέλος τοῦ κη' ἔτους ἐπιμεριζούσης τῆς Ἀφροδίτης, καὶ δηλοῖ ὡς κατ' ἐκεῖνο καιροῦ ὠφεληθήσεται ὁ κύριος τῆς ἐρωτήσεως καὶ ἐνεργήσει δουλείας ἀπὸ λογίου τινὸς καὶ σοφοῦ ἢ χάριν γραφικῶν τινων καὶ λογικῶν ὑποθέσεων κερδήσει καὶ ὠφεληθήσεται. εἶτα καταλαμβάνει ὁ περίπατος τῆς Ἀφροδίτης εἰς τὸ σῶμα τοῦ Ἄρεως περὶ τὸ τέλος τοῦ λε' ἔτους, καὶ τὰς ἀρχὰς τοῦ λς', καὶ δηλοῖ κλιμακτῆρα τῷ κυρίῳ τῆς ἐρωτήσεως ἀπὸ πλησμονῆς
30 αἵματος ἢ ἀπὸ θερμότητος ἢ ἀπὸ πληγῆς καὶ κρούσεως ἢ ἀπὸ σιδήρου· καί ἐστιν ὁ τοιοῦτος κλιμακτὴρ ἐναντίος πάνυ, καὶ εἰ διέλθῃ τοῦτον, διαρκέσει ἡ τούτου ζωὴ μέχρι ἂν ὁ περίπατος τῆς Ἀφροδίτης καταλάβῃ εἰς τὸ ζῳδιακὸν τετράγωνον τοῦ Ἡλίου ἤγουν κατὰ τὸ τέλος τοῦ μδ' ἔτους καὶ τὰς ἀρχὰς τοῦ με', ὃν κλιμακτῆρα οὐ δυνήσεται ἐκφυγεῖν ὁ
35 κύριος τῆς ἐρωτήσεως· δηλοῦται γοῦν καὶ ἀπὸ τοῦ περιπάτου τῆς Ἀφροδίτης ὡς εἰ διέλθῃ τὸν ἐν τῷ λς' ἔτει κλιμακτῆρα, διαρκέσει μέχρι καὶ τοῦ με' ἔτους.

Πάλιν ἐκινήσαμεν τὸν περίπατον τοῦ Ἄρεως λεπτομερέστερον, καὶ εὕρομεν αὐτὸν καταλαμβάνοντα εἰς τὸ λαὸν τῆς Ἀφροδίτης ἑξάγωνον
40 περὶ τὸ τέλος τοῦ κβ' ἔτους καὶ δηλοῖ ὡς ὠφεληθήσεται ὁ κύριος τῆς ἐρωτήσεως καὶ αὐξήσει ἡ τούτου τιμὴ καὶ προστεθήσεται τῇ χαρᾷ καὶ

5 sive potius ἔτη μ<γ> μῆνες β'. 22 δέξηται cod. 23 τετράγωνον] l. σημεῖον? 27 κερδίσει cod. 33 τετράγωνον] l. σημεῖον? 39 ἑξάγωνον] an σημεῖον?

Digitized by Google

τῇ σωματικῇ ἐπιμελείᾳ καὶ τῇ εὐζωΐᾳ καὶ ἐνωθήσεται γυναικὶ καὶ ὠφε-
ληθήσεται καὶ κερδήσει ἐξ αἰτίας τινὸς γυναικείου προσώπου ἐνδόξου.
εἶτα καταλαμβάνει ὁ περίπατος τοῦ Ἄρεως εἰς τὸ ζῳδιακὸν τετράγωνον
τοῦ Διὸς κατὰ τὸν θ' μῆνα τοῦ κε' ἔτους, καὶ δηλοῖ ὠφέλειαν τῷ κυρίῳ
τῆς (f. 269) ἐρωτήσεως, καὶ κέρδος καὶ π** τιμῆς ἀπὸ κληρονομίας 5
ἐπιγενομένην ἢ ἀπό τινος ἀνθρώπου ἐνδόξου μετέχοντος εἰς τὰ θεῖα καὶ
ἱερὰ ἤγουν ἀρχιερέως ἢ μοναχοῦ. εἶτα καταλαμβάνει ὁ περίπατος τοῦ
Ἄρεως εἰς τὸ ζῳδιακὸν τοῦ Κρόνου τετράγωνον περὶ τὸ μέσον τοῦ λβ'
ἔτους· ἐν ταὐτῷ δὲ καταλαμβάνει καὶ εἰς τὸ ζῳδιακὸν τρίγωνον τοῦ
Ἡλίου, καὶ δηλοῦται κατ' ἐκεῖνο καιροῦ κλιμακτὴρ αὐτῷ ἕνεκεν θείων 10
καὶ ἱερῶν πραγμάτων τινῶν, ἐν ᾧ κλιμακτῆρι καὶ ἀπὸ μεγάλου προσώ-
που ὠφεληθήσεται, ἢ καὶ ἀπ' αὐτοῦ βασιλέως. εἶτα καταλαμβάνει ὁ
περίπατος Ἄρεως εἰς τὴν διάμετρον τῆς Σελήνης περὶ τὸ τέλος τοῦ λγ'
ἔτους. καί ἐστιν ὁ τοιοῦτος κλιμακτὴρ ἐναντίος, διὰ τὸ μὴ ἔχειν ποθέν
τινα βοήθειαν. λέγομεν οὖν ὡς εἰ διέλθῃ τουτονὶ τὸν κλιμακτῆρα, δηλο- 15
νότι τὸν ἐν τῷ τέλει τοῦ λγ' ἔτους καὶ τοὺς λοιπούς, ἤγουν τὸν ἐν τῷ
λς' ἔτει καὶ τῷ λζ', διαρκέσει ἡ τούτου ζωὴ μέχρι τοῦ με' ἔτους. A. O.

F. 316. Περὶ καταρχῶν. Διάφορά τινων σοφῶν.

Ἐπὶ πάσης καταρχῆς ἀναγκαῖόν ἐστι φυλάττειν τήν τε πρώτην καὶ
ὀγδόην ὥραν τῶν δύο τῆς ἑβδομάδος ἡμερῶν, τῆς τε τρίτης καὶ τοῦ 20
σαββάτου, διὰ τὸ πολεύειν καὶ διέπειν ἐν αὐταῖς ταῖς ὥραις τῶν ἡμερῶν
αὐτῶν τοὺς κακοποιοὺς ἀστέρας, Ἄρην τε καὶ Κρόνον, ἤγουν τὸν μὲν
Ἄρην κατὰ τὴν τρίτην, τὸν δὲ Κρόνον κατὰ τὸ σάββατον.

Λέγει ὁ Μούγνης· πᾶς ἀστὴρ ὁ ὢν ἐν τῇ ἀρχῇ τοῦ ζῳδίου ὑπάρχει
πρὸς τὸ ζῴδιον ἀσθενὴς μέχρι τῶν ε' μοιρῶν· ἐπεὶ καὶ ὁ ἀστὴρ οὐκ 25
ἄλλοτι ἀπὸ τοῦ κέντρου ἀποκλίνει, ἢ ὅτε ἀποκλίνει μοίρας ιε', τότε γὰρ
ἐν τῷ κέντρῳ οὐχ ὑπάρχει, ἀλλὰ καὶ ἐν ταῖς ἑπομέναις μοίραις· ἐάν
ἐστιν ὁ ἀστὴρ ἐντὸς τῶν ιε' μοιρῶν, ὑπάρχει ἐν τῷ κέντρῳ· εἰ δὲ ἐκτὸς
τῶν ιε', οὐκ ἔχει ἐν τῷ κέντρῳ δύναμιν.

Εἶπεν ὁ σοφὸς Ἐμβρένιος[1]· ἐὰν ὡροσκοπῇ ἀγαθαποιὸς ἐν τῷ α' 30
τριτημορίῳ τοῦ ὡροσκόπου ἤγουν τῷ α' δεκανῷ, ἔστι χρηματιστικώ-
τερον καὶ ταχινώτερον πρὸς τὸ ἀγαθόν. εἶπε δὲ καὶ τοῦτο· ὅτε ὑπάρχει ὁ
ὡροσκόπος εἰς δεκάτην μοίραν τοῦ ζῳδίου, δεῖ εἶναι τὸν ἀγαθοποιὸν ἐν
τῇ ια' μοίρᾳ, ὅπως μετὰ μικρὸν τῆς ἀνόδου τῆς ὡροσκοπούσης μοίρας,
ἀνέλθῃ ὁ ἀγαθοποιός· καί ἐστι τοῦτο κρεῖττον πάντων ἐπὶ τὸ ἀγαθο- 35
ποιεῖσθαι τὸν ὡροσκόπον.

Λέγουσι οἱ παλαιοί· ὁ ἀστὴρ ὅτε ἐστὶν ἐν τῷ ὡροσκόπῳ, ἐντὸς
μοιρῶν τριῶν πρὸς τὰ ἑπόμενα, μεγάλην ἐν τῷ ὡροσκόπῳ ἔχει δύνα-

3 τετράγωνον an σημεῖον? 5 lacunam significavi. 8 τετράγωνον] l. σημεῖον?
9 τρίγωνον] l. σημεῖον? 14 ἔτου cod.

[1] De Embrenio, cf. *Catal. Flor.*, p. 36, cod. 8, f. 303.

Digitized by Google

μιν. εἰ δὲ μετὰ τῆς γ' μοίρας ἐντὸς ι' μοιρῶν ἀπ' αὐτῆς τῆς ὡροσκοπούσης μοίρας, δευτέραν ἔχει δύναμιν· εἰ δὲ ἐντὸς τῶν ιε' μοιρῶν, τρίτην ἔχει δύναμιν εἰς τὸν ὡροσκόπον· εἰ δὲ μετὰ ιε' μοιρῶν, δύναμιν εἰς τὸν ὡροσκόπον οὐκ ἔχει.

5 Ἀπομάσαρ[1] φησὶ ὅτι φασίν τινες τῶν ἀρχαίων ὅτι ὅτε συνοδεύουσιν ὁ Κρόνος καὶ Ἄρης, ποιοῦσιν εὐτυχίαν· ὁ μὲν γάρ ἐστι ψυχρός, ὁ δὲ θερμός καὶ γίνεται μεταξύ αὐτῶν εὐκρασία.

Λέγει ὁ σοφώτατος Σέχλ[2] ὅτι ἐὰν ὁ δηλῶν τὴν ἐρώτησιν ἀστὴρ εὑρεθῇ ἐν τῇ λ' μοίρᾳ τοῦ ζῳδίου, ἐν τῷ μετ' αὐτὸν ζῳδίῳ ἐστὶ ἡ
10 δύναμις αὐτοῦ· εἰ δὲ ἐν τῇ κθ' μοίρᾳ, ἐν ἐκείνῳ τῷ ζωδίῳ ὑπάρχει ἡ δύναμις αὐτοῦ, ἐπειδὴ ἡ δύναμις τοῦ ἀστέρος ἐν τρισὶ μοίραις θεωρεῖται, ἐν ᾗ τέ ἐστι καὶ τῇ πρὸ αὐτῆς καὶ τῇ μετ' αὐτῆς. — Λέγει δὲ καὶ τοῦτο· ὅτι ἡ σωματικὴ συναφὴ μεγαλωτέραν δύναμιν ἔχει τῶν διὰ τῶν ἀκτίνων σχημάτων· τὸ μὲν γὰρ σῶμα φθείρει τὴν ἀκτῖνα, ἡ δὲ ἀκτὶς τὸ
15 σῶμα οὐ φθείρει. ὁ κύριος δὲ συσχηματισμὸς τῶν ἀστέρων λέγεται ὅτε ἀπέχει ὁ ἐλαφρὸς τοῦ βαρέως μοίρας τρεῖς· τότε γὰρ καὶ συσχηματίζει αὐτόν. λέγεται δὲ ἀπορρεῖν τούτου, ὅτε παρέλθῃ διάστημα ἑνὸς ζωδίου· ἡ δέ γε ἀπόρροια τῆς διαμέτρου, μιᾶς μοίρας, ἡ δέ γε σύνοδος καὶ ἡ ἐξ αὐτῆς ἀπόρροια ἐπικρατεῖ καὶ λέγεται συνοδεύειν, ὅτε ἐντὸς
20 τῆς ὡρισμένης αὐτῶν τῶν ἀστέρων εἰσὶν ἀκτῖνος. πᾶς οὖν ἀστὴρ ὁ ὢν ἐν τῇ ἀρχῇ τοῦ ζῳδίου ἥττων τῶν ε' μοιρῶν ἀσθενής ἐστι πρὸς τὸ ζῴδιον, ἐπεὶ καὶ ἀπὸ τοῦ κέντρου ὁ ἀστὴρ τότε ἀποκλίνει, ὅτε ἀπέχει ἐπέκεινα τῶν ε' μοιρῶν. ὁ ἀστὴρ ὅταν ἐπαναφέρηται κέντρῳ ἐλάττων τῶν ιε' μοιρῶν, ἐν τῷ κέντρῳ ἐστίν, εἰ δ' ὑπερβαίνει τὰς ιε', δύναμιν ἐπὶ
25 τῷ κέντρῳ οὐκ ἔχει. — Ὅτε μέλλουσι συνοδεύσαι νυκτὶ δύο ἀστέρες καὶ ὑπάρχει ὁ μὲν εἷς βόρειος, ὁ δὲ ἕτερος νότιος, μέλλουσι δὲ οὗτοι παρὰ ὥραν δευτέραν ἢ τετάρτην ἀνελθεῖν τῆς νυκτὸς ἀπὸ τῆς ἀνατολῆς καὶ ὑπάρχει ὁ μὲν βόρειος ἐν η' μοίρᾳ τοῦ ζῳδίου, ὁ δὲ νότιος ἐν ς'· καὶ ἦν δεὸν ἀπὸ τῶν μοιρῶν φανῆναι πρότερον τὸν νότιον καὶ οὕτως τὸν
30 βόρειον· ὁ βόρειος πρότερον φανήσεται καὶ οὕτως ὁ νότιος. ἐν δὲ τῇ δύσει αὐτῶν τὸ ἀνάπαλιν γίνεται· ὁ νότιος πρότερον δύνει καὶ οὕτως ὁ βόρειος, κἂν δεῖ πρότερον δύναι τὸν βόρειον ἀπὸ τῆς τῶν μοιρῶν τάξεως. — Ἐάν τις δουλείας ἄρξηται τῆς Σελήνης οὔσης ἐν κέντρῳ καὶ ὑπὸ κακοποιῶν βλαπτομένης, ἀποφαίνει <?> μὴ τελεσφορῆσαι τὴν
35 δουλείαν ἐκείνην· εἰ δὲ βούλῃ γνῶναι πότε ἀνατραπήσεται ἴδε τὸν κακοποιὸν τὸν βλάπτοντα τὴν Σελήνην πότε ἐπεμβαίνῃ τῇ μονῇ τῆς Σελήνης· τηνικαῦτα γὰρ ἀνατραπήσεται. — Ἐπὶ πάσης καταρχῆς δεῖ εἶναι τὴν Σελήνην ἐν τοῖς ὀρθοῖς ζῳδίοις τοῖς ἀπὸ Καρκίνου ἕως Τοξότου ὁρῶσα<ν> τὸν Δία ἢ τὴν Ἀφροδίτην ταχυδρομοῦντας καὶ

7 εὐκρασίαν cod. 10 εἰ δὲ cod.

[1] De Apomasare, cf. supra, p. 122, n. 1.
[2] Σέλεχ auctor nominatur in Cod. Flor. 8, f. 303 (*Catal. Flor.*, p. 36).

Digitized by Google

ἀνατολικοὺς ὑπάρχοντας· τότε γὰρ τάχιον τὴν τοιαύτην ἀνύσει καταρχὴν καὶ ἀγαθὴν ἕξει ἀπόβασιν· εἰ δὲ ἐν λοξῷ ἐστι ζωδίῳ κεκακωμένη, ἐνδείας καὶ ταπεινώσεις. — Περὶ δὲ χρόνου τοῦ ἀποτελέσματος τοὺς τὸ αἴτιον ποιοῦντας ἀστέρας δεῖ ὁρᾶν· ἀνατολικοὶ μὲν γὰρ καὶ ἐπίκεντροι, μάλιστα εἰς τὸν ὡροσκόπον ἢ τὸ μεσουράνημα, ἡμέρας σημαίνουσι, ἀνατολικοὶ δὲ καὶ ἐπαναφερόμενοι, μῆνας, δυτικοὶ δὲ καὶ ἐπαναφερόμενοι, ἔτη.

Λέγουσιν οἱ παλαιοὶ ὅτι ἐπὶ πάσης καταρχῆς δεῖ εἶναι τὸν Δία ἐν τῷ ὡροσκόπῳ, τὴν Ἀφροδίτην ἐν τῷ ια', τὸν ἀναβιβάζοντα ἐν τῷ β', τὸν Ἄρην ἐν τῷ ε', τὴν Σελήνην ἐν τῷ γ', τὸν Ἥλιον ἐν τῷ θ'. εἰ δ' οὐ δυνηθῇς ταῦτα εὑρεῖν οὕτως καὶ εὑρήσεις ἐπέκεινα τῶν δύο, γίνεται τὸ ἀγαθὸν κρεῖττον ἢ τὸ κακόν. — Ἡ κενοδρομία τῆς Σελήνης ἐν ταῖς καταρχαῖς ματαιοπραγίαν δηλοῖ· κενοδρομεῖν δὲ νοεῖται ἐπὶ τῶν καταρχῶν ἡνίκα ἡ Σελήνη ἐν τῷ ζῳδίῳ ἐν ᾧ ἐστιν οὐ συνάπτει τινὶ τῶν ἀγαθοποιῶν ἢ κατὰ σῶμα ἢ κατὰ σχῆμα, μήτε ἐν τῷ ἑξῆς ἑπομένῳ. — Ἐπὶ πάσης καταρχῆς δεῖ μὴ εἶναι τὸν Ἥλιον ἐν ᾧ ζωδίῳ κατ' αὐτὸ τὸ ἔτος ἐγένετο ἢ γενήσεται ἔκλειψις, ὡσαύτως ἐπὶ τῆς Σελήνης. — Πᾶς δὲ ἀστὴρ κακοποιὸς ἐν ἰδίῳ οἴκῳ Ἡλίου ἢ ὑψώματι χρηματίζων, ἀγαθοποιοῦ δύναμιν ἐφέξει, καὶ ὁ μὲν ὡροσκόπος τὰ παρόντα δηλοῖ, τὸ μεσουράνημα τὰ μὲν ὀλίγον γινόμενα, τὸ δῦνον τὰ βραδέως γενησόμενα, τὸ ὑπόγειον τὰ τέλη τῶν πραγμάτων. Α. Ο.

Digitized by Google

EXCERPTA EX CODICE 6 (Marc. cccxxiv)

Dodecaeteridos Chaldaicae formae duae.

1. In cod. *Parisino 2420* a. 1550 a Christoph. Auero scripto (P) fol. 205ᵛ-209ʳ dodecaeteris quaedam s. cyclus duodecim annorum describitur, in quo " tempestates frugumque proventus ac sterilitates, item morbi salubritatesque circumire " ita feruntur, ut dubitari non possit, quin maior ille annus " Chaldaicus " a Censorino (*De die nat.* 18, 7) memoratus explicetur. Singuli anni nomen acceperunt a signis Zodiaci : primus annus Arietis, secundus Tauri, ultimus Piscium vocatur [1]. Quem textum in codice Parisino fol. 209ʳ-210ʳ sequitur alter, quo eaedem res sed diversum in modum et multo brevius atque neglegentius tractantur. Quamquam ne prius quidem capitulum integrum exstare, sed excerptum atque nonnusquam mutilatum esse primo obtutu apparet. Haec duo capitula in unum redacta sunt in cod. *Marciano 324* saec. XIV fol. 89ᵛ-91ᵛ : huius enim codicis capitulum ρκδ' ita contaminatum est, ut sex anni priores secundum priorem dodecaeterida, ceteri secundum alteram describerentur. Quod casu factum esse negaverim tot locis a scriptore codicis Marciani manifesto interpolatis immutatis consulto omissis, ut codicis Parisini quamvis recentioris lectionem unam fere genuinam esse censeam.

2. Priorem atque pleniorem dodecaeterida a. 996 p. Chr. scriptam esse ipse titulus probare videtur. Sed ut archetypus codicum nostrorum hoc tempore factus est, ita tractatus ipse mille fere annis antiquior esse debet. Nam ut cetera taceam, mensium nomina quaedam volgaribus adiuncta Imperatoris Augusti aetatem prae se ferunt : cum Ianuario enim comparatur Ὀκτάβαιος, cum Martio Νερώναιος (Νηρώναιος codd.), cum Iunio Ἀγχίσαιος (Ἀχύσαιος s. Ἐχίσιος codd.), cum Iulio Ῥωμαῖος, cum Octobri Σεβαστός, cum Novembri Ἀγρίππαιος, cum Decembri Λίβαιος. Iam vides mensium nomina ab Augusto ipso, ab Agrippa, a Livia et Octavia, a Nerone quodam, ab Anchisa progenitore, denique ab Urbe Roma petita esse. Atque hi fasti quo loco et quo tempore in honorem domus Augustanae instituti sint, Hermanni Useneri viri summi opusculo quodam ante hos viginti annos scripto neque dum edito, quod mihi benignissime permisit, edoctus sum. Eadem

[1] Eundem in modum stellae Iovis Zoroastrea dodecaeteris (*Geop.* I, 12) instituta est, quam hic illic cum nostra infra in adnotatione comparabimus.

Digitized by Google

enim mensium nomina in Libro glossarum ex " lingua Ellenorum " ita habentur (v. Goetzii *Thesaurum Glossarum*, fasc. 2, p. 692) :

I.	Sabastos (Σεβαστός)	= Ianuarius.
II.	Agripeos (Ἀγρίππειος)	= Februarius.
III.	Libenos (Λιβίδειος Us., Λίβειος? Goetz)	= Martius.
IV.	Octteos (Ὀκτάϊος Us., Ὀκτάβειος Goetz)	= Aprilis.
V.	Mensis quintus deest : quem in Iuliae honorem Ἰούλιον nominatum esse Usener l. l. probavit [1].	
VI.	Naroneos (Νερώνειος)	= Iunius.
VII.	Druseos (Δρούσειος)	= Iulius.
VIII.	Aphrodiseos (Ἀφροδίσιος)	= Augustus.
IX.	Anchiseos (Ἀγχίσειος)	= September.
X.	Pomeos (Ῥωμαῖος)	= October.
XI.	Eneades (Αἰνεάδειος)	= November.
XII.	Capetoleos (Καπετώλιος)	= December.

Itaque in honorem Augusti, Agrippae, Liviae, Octaviae, Iuliae, Neronis et Drusi privignorum Augusti, deinde Veneris et Anchisae, deae Romae, Aeneae, Capitolii hi menses nominati sunt, Agrippa iam tribunicia potestate ornato, Gaio autem et Lucio Caesaribus nondum ab Augusto adoptatis : scilicet a. 18-17 a. Chr. Atque " Ellenos " quosdam haec mensium nomina instituisse libro glossarum discimus : quos Syromacedones atque imprimis Antiochenos fuisse Usener statuit, cui haec omnia debemus.

3. Mensium nomina in dodecaeteride nostra eadem esse atque in libro glossarum apparet. Neque tamen eadem temporis spatia designant : exempli gratia Σεβαστὸς dodecaeteridos non Ianuario sed Octobri aequatur. Priusquam autem mensium ordo in dodecaeteride adhibitus explicetur, quae de singulis anni temporibus codices tradant conferemus.

I. *Sementis* (σπόρος).

Annis Arietis et Tauri : ἀπὸ μηνὸς Νοεμβρίου καὶ Ἀγριππαίου.
Anno Sagittarii : ἀπὸ μηνὸς Ἀπελλαίου (Ἀπηλές cod.) καὶ Νοεμβρίου καὶ Ἀγριππαίου.
Annis Leonis et Virginis : ἀπὸ μηνὸς Δεκεμβρίου καὶ Λιβαίου.

II. *Solstitium brumale* (τροπαὶ χειμεριναί).

Anno Cancri : τῇ πρώτῃ (*sic*) καλανδῶν Ἰαννουαρίων Λιβαίου κδ'.
Anno Leonis : τῇ πρὸ η' καλανδῶν Ἰαννουαρίων (= 25 dec.) Λιβαίου κδ'.
Anno Librae : τῇ πρὸ ἕξ καλανδῶν Ἰαννουαρίων (= 27 dec.) Λιβαίου κγ'.
Anno Scorpionis : τῇ πρὸ ὀγδόη (*sic*) καλανδῶν Ἰαννουαρίων (= 25 dec.) Λιβαίου κη'.
Anno Capricorni : τῇ πρὸ η' καλανδῶν Ἰαννουαρίων (= 25 dec.).

[1] Cf. *Thes. gloss.* l. s. l. : " Maius deest ; aut Iuliam aut Caesarem respiciendum fuisse Ruehl putat ".

Digitized by Google

Multa in his menda librariorum oscitatione orta sunt: auctorem tamen Caesaris potissimum rationem secutum brumam a. d. VIII kal. Ian., qui est Λιβαίου dies XXIV, posuisse confidenter statuimus. Quamobrem in anno Cancri ex πρώτη correximus πρὸ η' et in anno Scorpionis pro κη' restituimus κδ'. Sed num in anni Librae descriptione τῇ πρὸ ς' καλανδῶν Ἰαννουαρίων (quo die Eudoxo solstitium brumale erat) recte traditum sit, quaeritur. Cum autem Clodium et Columellam passim variorum Graecorum sententias inter se pugnantes conflasse videamus, idem dodecaeteridos auctorem facere potuisse nemo negabit. Ac ne hoc quidem satis intellegimus, num aequinoctia atque solstitia aliis annis alio tempore fieri sibi persuaserit auctor. Hoc sane certissimum est in anno Librae Λιβαίου κγ' librarium falso scripsisse, cum Λιβαίου dies XXIV idem sit ac dies XXV mensis Decembris. Igitur et τῇ πρὸ ς' καλανδῶν Ἰαν. servavimus et Λιβαίου κς' restituimus.

III. *Hiems media* (χειμῶν μέσος).

Anno Arietis : τῇ πρὸ ε' καλανδῶν Φεβρουαρίων (= 28 Ian.) <...> κζ'.
Anno Tauri : <τῇ> πρὸ ε' καλανδῶν Φεβρουαρίων (= 28 Ian.).
Anno Scorpionis : τῇ πρὸ ε' καλανδῶν Φεβρουαρίων (= 28 Ian.) Ὀκταβαίου κζ'.
Anno Sagittarii : τῇ πρὸ ε' καλανδῶν Φεβρουαρίων (= 28 Ian.).

Hiemem mediam, quae Columellae et Clodio 4 Ian., Eudoxo 21 Ian. erat, dubium non est quin auctor dodecaeteridos a. d. V Kal. Febr. s. Ὀκταβαίου die XXVII esse censuerit.

IV. *Aequinoctium vernum* (ἐαρινὴ ἰσημερία).

Anno Arietis : τῇ πρὸ ε' καλανδῶν Ἀπριλλίων (= 28 Mart.).
Anno Tauri (siquidem recte verba ἕως τῆς ἐαρινῆς ἰσημερίας supplevi) : τῇ πρὸ ε' καλανδῶν Ἀπριλλίων (= 28 Mart.) Νηρωναίου λη'.
Anno Cancri (si recte ἰσημερίαν scripsi pro ἡμέραν) : τῇ πρὸ θ' καλανδῶν Ἀπριλλίων (= 24 Mart.) Νηρωναίου κγ' (P; κδ' M).
Anno Leonis : τῇ πρὸ θ' καλανδῶν Ἀπριλλίων (= 24 Mart.) Νηρωναίου κγ'.

Iterum et a. d. IX Kal. April. et a. d. V aequinoctium vernum, quod Eudoxo erat a. d. V Kal. Apr., Caesari a. d. VIII, Clodio a. d. IX necnon a. d. VI, auctor ipse posuisse videtur. Igitur Νερωναίου κζ' pro λη' restituere satis habuimus.

V. *Vergiliarum exortus* (Πλειάδος ἀνατολή).

Anno Arietis : τῇ πρὸ ε' καλανδῶν Μαίων (= 27 April.) <...> κε'.

Ortum matutinum verum (non apparentem s. quem hodie dicunt "heliacum") auctor significat: cf. Columellam (X Kal. Maias Vergiliae cum sole oriuntur) et Idelerum (*Ueber den astronom. Theil der Fasti des Ovid, Abh. d. Berl. Akad.* 1822/23 p. 152). Sed num recte numeri traditi sint, infra videbimus.

VI. *Solstitium aestivum* (τροπαὶ θεριναί).

Anno Cancri (si recte verba transposui) : τῇ κε' (sic P; τῇ πρὸ κε' M) καλανδῶν Ἰουνίων (M : εἰσυνίων P) Ἀχυσαίου κς'.

Digitized by Google

Anno Librae : τῇ πρὸ η' καλανδῶν Ἰουλίων (= 24 Iun.) Ἐχισίου ... (numerus deest).
Anno Sagittarii : τῇ πρὸ ς' καλανδῶν Ἰουλίων (= 26 Iun.).
Anno Capricorni : τῇ πρὸ η' καλανδῶν Ἰουλίων (= 24 Iun.).

Caesari solstitium a. d. VIII Kal. Iul., Callippo a. d. VI : Columellae autem a. d. VIII, VII, VI. Identidem utramque rationem dodecaeteridos quoque auctor secutus esse videtur : neque quidquam emendare ausi sumus, nisi quod in descriptione anni Cancri Ἰουλίων pro Ἰουνίων restituimus et ineptum numerum κε' asterisco notavimus.

VII. *Caniculae exortus* (Κυνὸς ἀνατολή).

Anno Geminorum : τῇ πρὸ (πρὸς P) ι' καλανδῶν Αὐγούστων (= 23 Iul.) Ῥωμαίων (*sic*) κβ'.
Anno Virginis : πρὸ δὲ (*sic*) καλανδῶν Αὐγούστου κατὰ Ῥωμαίους (*sic*) κβ'.
Anno Librae : πρὸ ι' καλανδῶν Αὐγούστων Ῥωμαίων (*sic*) κβ'.
Anno Sagittarii : πρὸ ι' καλανδῶν Αὐγούστων.

Eundem diem scilicet a. d. X Kal. Aug., qui est mensis " Ῥωμαίου " dies XXII, ubique significari apparet. Ergo in anno Virginis δὲ in ι' correximus. Ceterum eodem die Clodio canicula exoritur : Eudoxo et Euctemoni pridie.

VIII. *Arcturi occasus* (Ἀρκτούρου δύσις).

Anno Librae : τῇ πρὸ ε' νωνῶν (νομῶν cod.) Ὀκτωβρίου (= 3 Oct.) Σεβαστοῦ ι'.

Arcturi occasum vespertinum mense Octobri non ineunte sed paene iam finito fieri et veteres ad unum omnes viderunt et Ideler (*Ueber den Kalender des Ptolemaeus, Abh. d. Berl. Akad. Philos. Cl.* 1816-17, p. 194) calculo affirmavit. Qua in re auctor errasse videtur. Sed praeterea numeros dierum male inter se consentire infra probabimus.

4. Atque haec sunt quae de singulis anni temporibus in dodecaeteride maiore feruntur. Iam videamus quinam mensium in honorem domus Augustanae institutorum ordo atque ratio fuerit. Atque fieri non potuisse quin mensis ipsi Augusto dedicatus agmen duceret, non est qui neget. Itaque primum ab Octobri, id est aequinoctio auctumnali Syromacedones anni initium sumere pro vetere consuetudine perrexerunt [1]; deinde formam anni ita anno Iuliano adaequasse, ut primum mensem i. e. Σεβαστὸν cum Ianuario primo Romanorum mense componerent ceterosque deinceps, libro glossarum docemur. Atque in dodecaeteride nostra cum Σεβαστός Octobri, Ἀγρίππαιος Novembri, Λίβαιος Decembri, Ὀκτάβαιος Ianuario, Νερώναιος Martio, Ἀγχίσαιος Iunio, Ῥωμαῖος Iulio similis esse dicatur,

[1] Idem in Asia Minore Augusto Imperatore factum est : cf. Mommsen, *Mitth. d. athen. Instituts* 1899, p. 287 : " *Ueberall geht mit der principiellen Ausgleichung die Schonung der alten Formen und Benennungen Hand in Hand : das Ianuar-Neujahr und die römischen Monatsnamen bleiben dem Osten fern, aber die Principien des festen Sonnenjahrs und des Schalttages werden gleichmässig durchgefuehrt.* "

Digitized by Google

Ἀγρίππαιος secundum in anno locum, Λίβαιος tertium, Ὀκτάβαιος quartum, Νερώναιος sextum, Ἀγχίσαιος nonum, Ῥωμαῖος decimum obtinet. Prorsus eundem ordinem menses "Ellenorum„ sive Syromacedonum libro glossarum traditi sequebantur. Itaque cum in descriptione anni Arietis nomen mensis Maio similis omissum sit, Δρουσαίου [1] inserere minime dubitavi.

Ἀγρίππαιον Novembri, Λίβαιον Decembri etc. simillimos esse diximus. Neque tamen in idem plane tempus ullos utrimque menses incidisse apparet. Nam Λιβαίου dies XXIV est Decembris dies XXV; Ὀκταβαίου dies XXVII est XXVIII Ianuarii; Νερωναίου dies XXIII est Martii XXIV; Ῥωμαίου dies XXII est Iulii XXIII. Igitur Λίβαιον a secundo die Decembris, Ὀκτάβαιον a secundo Ianuarii, Νερώναιον a secundo Martii, Ῥωμαῖον a secundo Iulii initium cepisse consentaneum est. Quae si recte disputata sunt, nullo modo fieri poterat, ut tertius dies Octobris cum decimo Σεβαστοῦ conferretur. Nam si Σεβαστόν ad Octobris instar dies XXXI, Ἀγρίππαιον ut Novembrem XXX habuisse statuimus, Λίβαιος non a secundo die Decembris, sed iam a XXIV die Novembris incipere debuit: quod contra ipsa auctoris verba pugnat. Ergo verba τῇ πρὸ ε' νωνῶν Ὀκτωβρίων Σεβαστοῦ ι' aliquam corruptelam acceperunt: scilicet pro numero ι' reponendus est β'. Quae omnia si mihi conceduntur, hunc in modum tempore Augusti Syromacedonum fasti instituti esse videntur:

Σεβαστός	dies	XXXI :	2 Oct.	—	1 Nov.
Ἀγρίππαιος	dies	XXX :	2 Nov.	—	1 Dec.
Λίβαιος	dies	XXXI :	2 Dec.	—	1 Ian.
Ὀκτάβαιος	dies	XXXI :	2 Ian.	—	1 Febr.
[Ἰούλαιος]	dies	XXVIII :	2 Febr.	—	1 Mart.
Νερώναιος	dies	XXXI :	2 Mart.	—	1 April.
Δρούσαιος	dies	XXX :	2 April.	—	1 Mai. [2]
Ἀφροδίσιος	dies	XXXI :	2 Mai.	—	1 Iun.
Ἀγχίσαιος	dies	XXX :	2 Iun.	—	1 Iul.
Ῥωμαῖος	dies	XXXI :	2 Iul.	—	1 Aug.
Αἰνεάδαιος	dies	XXXI :	2 Aug.	—	1 Sept.
Καπετώλιος	dies	XXX :	2 Sept.	—	1 Oct.

Quod autem Syromacedones non a primo sed a secundo die Octobris mensem primum coepisse videntur, Usener primum anni diem eos Octobris diem primum statuisse et sanctissimum anni initium non numerasse censet. Quam ob causam diem Octobris secundum Σεβαστὸν α' appellavisse neque tamen Sebasto dies

[1] Cum formis in -αιος exeuntibus cf. Ἐρωτίδαια et Ἐρωτίδεια, CIG, 1429 et 1430, Λύκειον et Λύκαια, ib., 1515 saepius, Ποσείδαια et Ποσίδεια, ib., 1430, 2330 sqq.; denique Αὐγουστεῖον et Αὐγουσταῖον (Pauly-Wissowa, II, 2349).

[2] Vergiliarum exortum in anno Arietis τῇ πρὸ ε' καλανδῶν Μαίων (= 27 April.) κε' esse PM consentiunt. Δρουσαίου supplendum esse diximus: at tabula inspecta Δρουσαίου diem XXV non a. d. V Kal. Maias sed a. d. VI fuisse concedes. Igitur τῇ πρὸ ς' Καλ. M. restituendum esse videtur.

Digitized by Google

XXX sed XXXI ut Octobri dedisse : sequitur aut Καπετώλιον mensem ultimum non XXX dies sed XXIX aut Αἰνεάδαιον paenultimum non XXXI sed XXX habuisse. Similem in modum Asianos mensium XXXI dierum secundum quemque diem non β' sed item α' appellasse idem probavit (*Bullett. dell' Instit.* 1874, p. 74, cf. Mommsen l. s. l. p. 285). Syromacedonici autem anni ordo cum prorsus ad honorem domus Augustanae spectet neque diu retineri potuerit, dodecaeterida nostram sub ipso Augusto scriptam esse verisimile est.

5. De altera dodecaeteride non est quod multa dicamus. Excerptum aridissimum homo quidam Byzantinus nescio quo antiquiore usus exemplari confecisse videtur. [F. B.]

I. Dodecaeteris prior.

Δωδεκαετηρὶς ἀκριβὴς ἔτους ,ϛφδ' [996 p. Ch.]· τοῦτο τὸ α' ἔτος· καὶ πάλιν ἐν τῷ ις' ἔτει ἔτος α'· καὶ κατὰ συμπλήρωσιν τῶν ιβ' ἐτῶν ἔτος α'· καὶ μέχρι συμπληρώσεως κόσμου πορεύεται καὶ μάλα εἰκότως.

Ἔτος <α'> Κριοῦ.

Ἔσται τὸ ἔτος τοῦτο ἀπὸ βορρᾶ τραχῦνον. ὁ δὲ χειμὼν ψυχρός, συνεχής, σφοδρός, χιονώδης, οὐκ εὐδιάλυτος, ἀνέμοις ἐπιτεταμένος· κατὰ μέσον δὲ χειμῶνα [ἐνοδηγοῦσθαι] τῇ πρὸ ε' καλανδῶν Φεβρουαρίων, <Ὀκταβαίου> κζ' συμβήσονται μεγάλα πνεύματα ἀπὸ χειμερινῆς ἀνατολῆς· κατὰ δὲ τὴν τοῦ ζεφύρου πνοὴν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν, ἥτις ἐστὶ <τῇ> πρὸ ε' καλανδῶν Ἀπριλλίων, μεταβάλλεται ὕστερον ὁ ἀὴρ ἡμέρας γ' εἰς ὕδατα καὶ πνεύματα πυκνὰ καὶ μαλακά, καὶ μετὰ γ' ἔτι ἕως Πλειάδος ἀνατολῆς τῇ πρὸ ε' καλανδῶν Μαίων, <Δρουσαίου> κε'. καὶ τὸ μὲν ἔαρ καυματῶδες μετὰ τὸν χειμῶνα, τὸ δὲ θέρος εὔκρατον, τὸ δὲ φθινόπωρον καυματῶδες. γενήσονται δὲ ποταμοὶ μεγάλοι ἐν τῷ ἔτει τούτῳ. τὸν δὲ σπόρον πρώιμον δεῖ ποιεῖσθαι καὶ προλαμβάνειν καὶ συντελεῖν ἀπὸ μηνὸς Νοεμβρίου καὶ Ἀγριππαίου· εἰ δὲ μή, ὁ ὑπογενόμενος καταδεέστερος γίνεται. ὁ δὲ σιτικὸς πλείων τοῦ Διονυσιακοῦ ἔσται· τοῖς βοσκήμασιν εὐετηρία ὑπάρξει· καὶ τὸ ἔτος μένει οὐκ ἄπορον, ἀλλ' εὐχώριον.

1 Δωδεκατόρκης P. τὸ om. P. 2 ἐν om. M. ιβ' P : ις' M recte; scilicet annus ,ϛφις'. 5 Ἔτος Κριοῦ P (α' addidi) : om. M (man. 2ª add. Κριοῦ). 6 τραχῦνον corr. Usener : ταχινὸν P M. 8 ἐνοδηγοῦσθαι P M; uncinis inclusi. 7 ἐπιτεταγμένος P M : corr. Usener. Nam ipsa hiems media a. d. V Kal. Febr. cadit (v. supra p. 141). 9 Ὀκταβαίου addidi; cf. prolegomena. 11 τῇ addidi. 12 πνεύματα τὰ πυκνὰ P M. 13 ἔτη P et M man. 1 (corr. man. 2). πρὸ ε' : scribendum videtur πρὸ ϛ', v. supra p. 143, 2. μαίω P : μαίου M. 14 Δρουσαίου addidi, v. prolegomena. καματῶδες P M. 17 συντελεῖ P M. ἀγριπαίου P M. εἰ - γίνεται restitui ex coniectura : εἰ δὲ μὴ οὕτω γενόμενος κατὰ δὲ ἕτερον γίνεται P : εἰ δὲ μὴ οὕτω ἀλλὰ καθέτερον γένηται M. 19 τοῖς om. P. 20 εὐχώριον videtur ἅπαξ εἰρημένον : an εὐχάριτον? In margine M man. 1 : ἔτους ,ϛνζ' (= 949 p. Chr.) πρῶτον ἔτος· καὶ πάλιν ἐν τῷ ἐθ' (= 961) ἔτος <α'> ἐστίν.

Digitized by Google

Ἔτος <β'> Ταύρου.

Τὸ δεύτερον ἔτος τῇ ἕξει ὑπάρξει τοιοῦτον· ἐπικρατούμενον πνεύμασιν ἐσπερίοις· ὁ δὲ χειμὼν ἀρχόμενος ἔσται θερμός, εὔκρατος προ**. χειμάσει δὲ ἀπὸ μέσου χειμῶνος <τῇ> πρὸ ε' καλανδῶν Φεβρουαρίων <ἕως τῆς ἐαρινῆς ἰσημερίας> τῇ πρὸ ε' καλανδῶν Ἀπριλλίων, Νερωναίου κζ'. μᾶλλον δὲ παρακμάζων πάντως ἔσται ἐπιτεταμένος <καὶ> καταστήσεται κατάψυχρος. τὸ μέσον <θέρος> θερμὸν ἔσται <καὶ> καυματῶδες διὰ τὸ τοὺς ἐτησίας ἐλλείπειν, τὸ δὲ φθινόπωρον εὔκρατον· ἔσται δὲ ὑγρὸν καὶ ἀκατάλληλον. δεῖ δὲ τὸν σπόρον συντελεῖν ἀπὸ μηνὸς Νοεμβρίου καὶ Ἀγριππαίου ἐν ἡμέραις λ'. εὔθετον δὲ τὸ ἔτος τοῦτο πρὸς πᾶσαν εὐφυΐαν καὶ πρὸς θεραπείαν ἐπιτήδειον· βοσκήμασιν εὐετηρία ὑπάρξει. τῶν δὲ τόπων τὰ πεδινώτερα φοριμώτερα. παρὰ προσδοκίαν δὲ πάντες οἱ καρποὶ ἔλαττον φανήσονται. καὶ ἡ θάλασσα χειμέριος ὑπάρξει.

Ἔτος γ' Διδύμων.

Ἐν τούτῳ τῷ ἔτει ἔσται κατὰ τὸ πλεῖστον ἀὴρ νότιος. χειμὼν ἀνήμερος, μάλκιος καὶ πυκνὸς σφόδρα, χιονώδης· σπανία καὶ πνεύμασιν ἔκλειψις. τὸ δὲ ἔαρ εὔκρατον· ὕδατα ἐφύει πολλὰ καὶ πυκνά. ὁμοίως δὲ καὶ τὸ θέρος εὔκρατον, διὰ τὸ τοὺς ἀνέμους λαμπροὺς εἶναι καὶ ἐπὶ πολὺν χρόνον παραμένοντας· ἀπὸ Κυνὸς ἀνατολῆς τῇ πρὸ ι' καλανδῶν Αὐγούστων, Ῥωμαίου κβ', ἔσονται νότοι λαμπροὶ καὶ ὑδάτων ἐπισημασίαι. ἕξει δὲ καὶ τοὺς σπόρους καλοὺς καὶ εὐκαίρους· εὐφορία δὲ κατὰ πάντα ἔσται διὰ τὴν τῶν πνευμάτων * πρός τινα ἔκλειψιν. πλεῖστον δὲ ὁ Δημητριακὸς καρπὸς ὑπακούσει διὰ τὴν τῶν ἀέρων εὐκρασίαν· ὁ δὲ Διονυσιακὸς καρπὸς παρὰ προσδοκίαν ἥττων. πᾶσαν δὲ ἐργασίαν προλαμβάνειν, μὴ προλάβωσιν οἱ καρποὶ τὰ ἔργα. ἔσται δὲ καὶ ξυλίνων καρποφορία. ἐπιτήδειον τὸ ἔτος πρὸς φυτείαν καὶ τὰς λοιπὰς ἐργασίας. προνοεῖν δεῖ πάντως καρπούς, προνοεῖσθαι <δὲ> καὶ τῶν λοιπῶν ἐπιτηδείων, διὰ τὸν ἐμπνευσόμενον χειμῶνα.

1 β' addidi. M man. 2ª inscripsit Ἔτος β' ταύρου. 2 τῇ ἑξυπάρξει P; ὑπάρξει M. 3 ἀρχόμενος in M post θερμός. προχειμάσει P M : lacunam statuit Usener. 5 ἕως-ἰσημερίας add. Νερωναίου - ἔσται om. M : Νηρωναίου λη' P. 6 ἐπιτεταγμένος P M (γ expunctum in P). καὶ suppl. hic et infra. 7 κακόψυχρος P : κακόψυχος M : κατάψυχρος scripsi. μέγα P : μέσον M. θέρος addidi. 8 ἐπισσίας P : man. 2 in marg. ἴσως ἐτησίας. 10 καὶ Ἀγριππαίου om. M. Ἄγριππε P. 12 τὰ δὲ P. Exspectaveris οἱ πεδινώτεροι κτλ. εὐφοριμώτερα M. 15 Ἔτος διδύμων P : Ἔτος γ' M. 17 μάλκιος scripsi : μαλακός P M. σφόδρα· χειονιδδης P M. σπανία πνευμάτων· τὸ ἔαρ M. 19 καὶ om. M : εὔκρατον in M post παραμένοντας. τὸ om. P. 20 ὑπὸ P. ἐπιτολῆς M. πρὸς P. 21 αὔγουστος P. ῥωμαίων P M. 23 πρός τινα corruptum : κράσιν [ἔκλειψιν] Usener. 24 ἀνέμων M, sed corr. man. 1. 25 ἥττον M. 26 προσλαμβάνη P : προσλαμβάνειν M. προλάβουσιν P. ἔγα (*sic*) P. ξύλων M. 27 καρποφορά P M. τὸ om. P. ἐργασίας. δεῖ δὲ προνοεῖσθαι τῶν καρπῶν καὶ τῶν λ. ἐ. M. 29 ἐμπνευσάμενον P : ἐπερχόμενον M.

Digitized by Google

Ἔτος δ' Καρκίνου.

Ἔσται τοῦτο <τὸ> κατάστημα τοῦ ἔτους· ἔχον πνεύματα ἀρκτικὰ ἐκ καιροῦ· ἔσθ' ὅτε καὶ μοχθηρὸν χειμῶνα προσδοκᾶν χιονώδη καὶ ἄκαιρον κατὰ τὸ πλεῖστον καὶ χαλαζώδη. σπανίως δέ που καὶ <κρᾶσις> ἀέρων εὔκαιρος. προχειμάσει δὲ καὶ βραδέως παύσεται, εἰ μὴ <κατὰ> τροπὰς χειμερινάς, αἵ τινες ἄρχονται τῇ πρὸ η' καλανδῶν Ἰαννουαρίων, Λιβαίου κδ', ἀνοχὴ ἔσται ὑδάτων ἐπὶ χρόνον τινὰ καὶ εὔδιος ἀὴρ ὑπάρξει. μετὰ δὲ τροπὰς χειμερινὰς χειμὼν ἔσται πολύς· πολλὰς χιόνας καὶ συνεχεῖς παρέχει. κινεῖ <δὲ> τὸν ἀέρα πρὸς ἰσημερίαν, ἥτις ἐστὶ <τῇ> πρὸ θ' καλανδῶν Ἀπριλλίων, Νερωναίου κγ'· καὶ μεταστήσεται ὁ ἀὴρ χρώμενος πυκναῖς ἐπισημασίαις, ὁμοίως καὶ χαλάζαις καὶ ὄμβροις ἕως τροπῶν θερινῶν τῇ πρὸ * κε' καλανδῶν Ἰουλίων, Ἀγχισαίου κς'. ποταμοὶ πλημμυροῦνται καὶ χείμαρροι. τὸν δὲ σπόρον ἔσχατον δεῖ ποιεῖσθαι. τῶν δὲ τόπων τὰ τραχύτερα φοριμώτερα καταστήσονται. καὶ τῶν λοιπῶν καρπῶν δεῖ διὰ τὸ σύμμετρον φορὰν ἔσεσθαι καὶ βοσκημάτων φθοράν. τὸ δὲ ἔτος ὑγιεινὸν καὶ οἱ καρποὶ ὑγιεινότατοι· ὁ δὲ Διονυσιακὸς πλείων παρὰ τοὺς ἄλλους. οὐκ ἐπιτήδειον τὸ ἔτος πρὸς φυτείαν οὐδὲ πρὸς ἐργασίαν. καὶ ἡ θάλασσα χειμέριος.

Ἔτος ε' Λέοντος.

Τοῦτο τὸ ἔτος ἔσται κατὰ <τὸ> πλεῖστον ἔχον πνεύματα ἀφηλιωτικά. ὁ μὲν χειμὼν ἀδιάλειπτος, χιονώδης καὶ παγώδης, ψυχρός τε καὶ ἄνομβρος, μάλιστα ὑπὸ τροπὰς χειμερινὰς τῇ πρὸ η' καλανδῶν Ἰαννουαρίων, Λιβαίου κδ'· χειμάσει ὀψὲ καὶ ταχὺ παύσεται. τὸ δὲ ἔαρ ἔσται ἔπομβρον· ἐκλείψουσιν αἱ πηγαί. τὸ δὲ φθινόπωρον καυματῶδες καὶ ἄνυδρον. ἀπὸ δὲ ἰσημερίας ἐαρινῆς τῇ πρὸ θ' καλανδῶν Ἀπριλλίων, Νερωναίου κγ', πνεύσουσι βορραῖ συνεχεῖς διόλου. τὸν σπόρον πρώιμον ποιεῖσθαι καὶ συντελεῖν ἀπὸ μηνὸς Δεκεμβρίου καὶ Λιβαίου· οἱ δὲ μετὰ

1 Ἔτος δ' M : Ἔτος Καρκίνου P. 2 Ἔσται τὸ ἔτος τοῦτο ἔχον M. ἐκ καιροῦ scripsi : καιρῶν P; om. M. 3 χρὴ add. M post προσδοκᾶν (infinitivus pro imperativo). 4 σπανιώδης P M. ἱεράρων P; ἱετράρων M : κρᾶσις) ἀέρων coniecit Cumont. 5 εἰ μὴ P; μετὰ M : εἰ μὴ κατὰ scripsi. 6 ἄρχουσι P. τῇ πρώτῃ P M. 7 λυβαίου P. ἀνοχὴ ὑδάτων : cf. *Geop.*, I, 12, 18. 9 συνεχής P. δὲ addidi. ἡμέραν P M : ἰσημερίαν scripsi. 10 Νηρωναίου P M. κδ' M. μεταστήσει P M. 11 πυκνὰς ἐπισημασίας M. χαλάζαις ἕως τροπῶν ἐαρινῶν καὶ ὄμβροι P M : καὶ ὄμβροις scripsi, transposui; θερινῶν correxi. 12 τῇ πρὸ κε' M : τῇ κέ' P : numerus ε' restituendus esse videtur. εἰσυνίων P : ἰουνίων M. Ἀχυσαίου P M. 14 εὐφορώτερα M. 15 δεῖ scripsi : εἰ P; καὶ M. φορὰν P : φθορὰν M. 16 φθορά M. ὑγιεινόν: cf. *Geop.*, I, c. 18 χειμέρος M. 19 Ἔτος Λέοντος P : Ἔτος ε' M. 20 τοῦτο τὸ ἔτος ἔσται καὶ ἄπληστον, ἔχον πνεύματα φιλιωτικά P : Ἔσται τὸ ἔτος τοῦτο ἔχον πνεύματα ἀφιλιωτικά M. κατὰ <τὸ> πλεῖστον scripsi pro καὶ ἄπληστον. 23 λυβαίου P. τὸ δὲ ἔαρ κτλ. : cf. *Geop.*, I, 12, 21. 26 νηρωναίου P M. πνεύσουσι πνεύματα βόρεια συνεχῆ M. βορρέοι P. 27 δεῖ add. M post ποιεῖσθαι. καὶ συντελεῖν om. M.

Digitized by Google

ταῦτα ἐπιγινόμενοι ὑποδεέστεροι ὑπάρξουσι. πάντες δὲ οἱ καρποὶ φανήσονται σύμμετροι· καὶ τὸ ἔτος οὔτε εὔφορον οὔτε ἄφορον. πάσας δὲ ἐργασίας προιέναι δεῖ τοῖς εἰωθόσι καιροῖς. ἄθετον τὸ ἔτος τοῦτο νόμιζε πρὸς φυτείαν ὑπάρξειν καὶ βοσκήμασιν οὐ σπουδαῖον· πρὸς θεραπείαν ἐπιτήδειον. τῶν δὲ τόπων τὰ πεδία φοριμώτερα τῶν ἄλλων ὑπάρξει.

Ἔτος ς' Παρθένου.

Ἕξει τοῦτο τὸ ἔτος πνεύματα πλεῖστα ἀπὸ δύσεως καὶ μεσημβρίας. ὁ δὲ χειμὼν ἀρχόμενος ἔσται θερμός· μεσάζων εὔκρατος, ὕδατα ἔχων ἀλογοῦντα· λήγων δὲ χιονώδης καὶ ἀνεμώδης, πάγους ἔχων πολλοὺς καὶ ποταμοὺς μεγάλους. τὸ δὲ ἔαρ <καὶ τὸ θέρος> θερμὸν καὶ ἄνομβρον, εἰ μὴ ἀπὸ Κυνὸς ἀνατολῆς, ἥτις ἐστὶ <τῇ> πρὸ ι' καλανδῶν Αὐγούστων, Ῥωμαίου κβ', ἔσονται ὄμβροι σφοδροί, βαγδαῖοι, ὥστε τὸν σιτικὸν καὶ φθαρῆναι. τὸ μετόπωρον καυματῶδες καὶ ἀνεμῶδες. δεῖ δὲ τὸν σπόρον ποιεῖσθαι ἀπὸ μηνὸς Δεκεμβρίου καὶ Λιβαίου. τῶν δὲ τόπων τὰ ὀρεινότερα <φοριμώτερα καὶ> κατὰ τόπους μάλιστα τὰ ἐν τῷ δέοντι καιρῷ σπαρέντα· τῶν δὲ ξυλίνων καρπῶν σύμμετρος ἡ φορά. ἐπιτήδειον τὸ ἔτος ὑπάρξει πρὸς φυτείας· πᾶσαν δὲ ἐργασίαν ἐφυστερεῖ καὶ τὴν εἰωθεῖαν γενέσθαι καρπῶν σιτικῶν συντόμως δεῖ ποιεῖσθαι, διὰ τοὺς προδηλουμένους ὄμβρους. ὁ μὲν Διονυσιακὸς καρπὸς ἔσται φόριμος καὶ εὔκαρπος. τῶν δὲ τετραπόδων ζῴων φθορὰ κατὰ πολλοὺς τόπους· ἀνθρώπων δὲ ὑγεῖαι. ἐκλείψουσιν αἱ πηγαί.

Ἔτος <ζ'> Ζυγοῦ.

Τοῦτο τὸ ἔτος ἔσται κατὰ τὸ πλεῖστον ἀεροπλήγιον, ἔχον χειμῶνα εὔκρατον καὶ ὕδατα πλεῖστα, καὶ ἐν ἀρχῇ μὲν θερμόν, μεσάζον ὑδατῶδες. ἀπὸ μὲν οὖν χειμερινῶν τροπῶν τῇ πρὸ ς' καλανδῶν Ἰαννουαρίων, Λιβαίου κς', πνεύσουσι ζέφυροι λαμπροὶ ἀπὸ δύσεως καὶ μεσημβρίας· τὸ δὲ ἔαρ ἔσται ψυχρὸν καὶ χιονῶδες καὶ ἀκατάστατον· ἔαρ ἀνέχον

2 πάσης P M. 3 δεῖ scripsi : διὰ P M. εἰωθῶσι P. ἄθητον P. Cf. *Geop.*, I, 12, 21. 4 ὑπάρξει P. βοσκήματα M. 6 Post ὑπάρξει in M falso irrepserunt ἀπὸ δύσεως καὶ μεσημβρίας : v. verba proxima de anno Virginis. 7 Ἔ. π. P : ς' M. 8 Ἥξει P M. 10 ἀναλογοῦντα M. Eadem fere *Geop.*, § 23. 11 καὶ τὸ θέρος addidi. 12 ὑπὸ P. εἰ - κβ' deleta in M, ubi leguntur : ἀπὸ ἑπτολῆς δὲ κυνὸς ἔσονται κτλ. στάσις P : ἥτις ἐστί scripsi. πρὸ δὲ P : <τῇ> πρὸ ι' scripsi. αὐγούστου κατὰ ῥωμαίους P. 13 ὥστε - φθαρῆναι om. M. τὸν σιτικόν scripsi : τὸ νοητικόν P. 15 καὶ λυβαίου P. καὶ - ὄμβρους (20) om. M. 16 φορ. καὶ addidi. 18 ἐφυστηρεῖ P. καὶ scripsi : κατὰ P. 20 μὲν P : γοῦν M. φ. κ. εὔκρ. P : ἄριστος ex correctura M. 21 πολλοὺς scripsi : τοὺς P ; κατὰ - τόπους et δὲ om. M. 22 ἐλείψουσιν M. Quae sequuntur post πηγαί in cod. M omissa sunt usque ad annum VII alterius dodecaeteridos. 23 ζ' addidi. 24 ἀεροπλήγιον : vocabulum videtur adhuc ignotum. 26 πρὸ ἕξ P. 27 κγ' P : correxi, v. prolegomena. 28 ἔαρ ἀνέχον μέχρι τροπῶν θερινῶν : cf. *Geop.*, § 27 : τοῦ δὲ θέρους ἡ ἀρχὴ ἔαρι ἔσται ὁμοία.

Digitized by Google

μέχρι τροπῶν θερινῶν τῇ πρὸ η' καλανδῶν Ἰουλίων, Ἀγχισαίου <..>, καὶ τὸ θέρος ἄχρι Κυνὸς ἀνατολῆς, ἥτις ἐστὶ <τῇ> πρὸ ι' καλανδῶν Αὐγούστων, Ῥωμαίου κβ', *** ἕως Ἀρκτούρου δύσεως τῇ πρὸ ε' νωνῶν Ὀκτωβρίων, Σεβαστοῦ β', καυματῶδες· τὸ δὲ φθινόπωρον ἔπομβρον. δεῖ δὲ τὸν σπόρον συντελεῖν πρώιμον. οἱ δὲ ὑστεροῦντες καταδεεστέ- 5 ρους ἕξουσι τοὺς καρπούς. τῶν δὲ τόπων τὰ πεδινώτερα <φοριμώτερα> ποιήσει· καὶ ὁ σιτικὸς καρπὸς πλέων τοῦ Διονυσιακοῦ καρποῦ· καὶ τῶν ξυλίνων εὐφορία. οὐκ ἐπιτήδειον τὸ ἔτος πρὸς φυτείαν· ἕξει δὲ βοσκημάτων φθορὰν κατὰ τόπους· ἐπισφαλὲς δὲ πρὸς τὰς ἐν γαστρὶ ἐχούσας.

Ἔτος <η'> Σκορπίου. 10

Τοῦτο τὸ ἔτος ὑπάρξει ἐπικρατούμενον <.....> κατὰ τὸ πλεῖστον. ἕξει χειμῶνα εὔκρατον καὶ εὔκαιρον μέχρι τροπῶν χειμερινῶν τῇ πρὸ η' καλανδῶν Ἰαννουαρίων, Λιβαίου κδ', λήγοντα δὲ χειμῶνα ὁμοίως εὔκρατον. μέσου δὲ χειμῶνος τῇ πρὸ ε' καλανδῶν Φεβρουαρίων, Ὀκτα- βαίου κζ', ἔσονται λεῖα πνεύματα καὶ πολλῶν ὑδάτων φορὰ * ταραχοροί· 15 καὶ ποταμοὶ ἔσονται πλημμυροῦντες. τὸ δὲ ἔαρ νότιον καὶ ἔπομβρον· τὸ δὲ θέρος ἐπίνοσον· τὸ δὲ φθινόπωρον ἀσφαλὲς διὰ τοὺς ἐτησίας ἀνέμους, ὅτε πνεύσουσι. τοῦ δὲ σιτικοῦ καρποῦ φθορὰ κατὰ τόπους.

Ἔτος <θ'> Τοξότου.

Ἐν τούτῳ τῷ ἔτει ἔσονται οἱ ἄνεμοι ἀρκτικοί. ἔχει δὲ τὸν χειμῶνα 20 χιονώδη, συνεχῆ, οὐκ εὐδιάλυτον· εἴωθε δὲ καὶ πνεύματα ἀποτελεῖσθαι μοχθηρὰ καὶ ἄκαιρα. καὶ ὁ χειμὼν ἀρχόμενος ἄκαιρος καὶ ψυχρός· λήγων δὲ μᾶλλον, εἰ μὴ πρὸς μέσον εὔκρατος· μεσάζων δὲ τῇ πρὸ ε' καλανδῶν Φεβρουαρίων ἀκατάστατος ἕως τροπῶν θερινῶν τῇ πρὸ ς' καλανδῶν Ἰουλίων, ἔχων ἐπισημασίας, ὄμβρους. μετὰ δὲ Κυνὸς ἀνατο- 25 λῆς τῇ πρὸ ι' καλανδῶν Αὐγούστων ἔσται τῶν ἀέρων κίνησις· ἔστωσαν πνεύματα καὶ ὕδατα ταραχώδη· κατὰ λῆγον δὲ τὸ φθινόπωρον ἔσται κίνησις ἀνέμων μεγάλων. τὸν δὲ σπόρον δεῖ συντελεῖν ἀπὸ μηνὸς

1 πρὸς P. ἐχισίου P. Numerus deest: supplendum esse videtur κγ'. 3 ῥωμαίων P. post κβ' lacunam statui (haec fere desunt: <εὔκαιρον καὶ>). Ἀρκτούρων P. νομῶν ὀκτωβρίου P. 4 σεβαστοῦ ι' P: correxi, cf. prolegomena. καυματώδης P. 6 φοριμώτερα addidi. 7 πλέον P. 9 φθορά P. ἐπισφαλὲς κτλ.: cf. *Geop.*, l. c., ταῖς ἐγκύοις γυναιξὶν ἐπικίνδυνον ἔσται τὸ ἔτος. 10 η' add. 11 ἐπικρατοῦν λύενον P (in marg. man. 2ª ἴσως λειαῖνον): ἐπικρατούμενον (e. g. ἀνέμοις ἀρκτικοῖς) scripsi; lacunam statui. 12 τρόπων P. τῇ πρὸ ὀγδόη P. 13 λυβαίου κη' P: correxi. τὸν δὲ χειμῶνα P: λήγοντα δὲ χειμῶνα scripsi. 14 μέσον P. καλάνδων P. 15 ταραχοροί P: latere videtur ταραχώ<δης· χείμαρ>ροι καὶ ποταμοὶ κτλ. 17 ἀσφαλές: contraria docet Democritus in *Geop.*, § 29. ἐτησίας scripsi: ἐμπισσίας P. 18 ὅτε scripsi: ὅτι P. 19 θ' add. 26 καλάνδων P. 27 εἰς ὕδατα P: καὶ ὕ. scripsi. καταλέγων P: κατὰ λῆγον scripsi.

Digitized by Google

Ἀπελλαίου καὶ Νοεμβρίου καὶ Ἀγριππαίου. τῶν δὲ τόπων τὰ πεδία φοριμώτερα ἔσται. μᾶλλον δὲ ὁ Διονυσιακὸς μέσος ἔσται, μήτε πλέον αὔξων μήτε ἐλλείπων. παρὰ πάντας δὲ ὁ σιτικὸς φοριμώτερος ἔσται. ἐπιτήδειον τὸ ἔτος πρὸς φυτείαν. ἐκλείψουσι δὲ αἱ πηγαί. ἔσται δὲ
5 <κυνῶν> καταφθορά. καὶ ἡ θάλασσα ἔσται χειμέριος.

Ἔτος <ι'> Αἰγόκερω.

Ἐν τούτῳ μὲν τῷ ἔτει ἔσται χειμὼν εὔδιος, ἔχων ὕδατα μέχρι τροπῶν χειμερινῶν τῇ πρὸ η' καλανδῶν Ἰαννουαρίων. περὶ δὲ <τὸ> μέσον τοῦ χειμῶνος ἀνοχὴ ὕδατος ἔσται· καὶ μετὰ τοῦτον πάλιν <ἔαρ> ἔπομ-
10 βρον, μέχρι τροπῶν θερινῶν τῇ πρὸ η' καλανδῶν Ἰουλίων. τὸ δὲ θέρος ἔσται κατάσφοδρον· τὸ δὲ φθινόπωρον ἄνυδρον καὶ καυματῶδες. σπόρος δὲ καλὸς καὶ σιτικὸς καρπός· ὁμοίως φυρᾶται ὁ οἰνικὸς παρὰ προσδοκίαν· ὁ δὲ ἐλαϊκὸς καρπὸς κατὰ τόπους ἔσται καλός. τοὺς δὲ ξυλίνους καρποὺς τάχιον δεῖ πρ>ιέναι. ἐν τούτῳ τῷ ἔτει σεισμοὶ καὶ
15 σώματος φθορὰ κατὰ πολλοὺς τόπους καὶ ποταμοὶ μεγάλοι. τὸ δὲ ἔτος πρὸς θεραπείαν καὶ φυτείαν ἐπιτήδειον.

Ἔτος <ια'> Ὑδροχόου.

Ἐν τούτῳ τῷ ἔτει πνεύσουσιν ἄνεμοι πλεῖστοι ἀφηλιωτικοί, εὔκαιροι, σύμφοροι πάντες τῷ σιτικῷ καρπῷ, μάλιστα δὲ τοῖς ξυλίνοις. καὶ
20 οἱ σπόροι πάντες καλοὶ κατὰ τόπους· τὰς δὲ περυσινὰς ἐργασίας προιέναι βραδεῖς. ἔσονται δὲ κατά τινας καιροὺς ἀνέσεις πνευμάτων. ἐν μὲν τῷ μετοπώρῳ ἐκπίπτει φόριμον τὸ ἔτος καὶ βοσκημάτων εὐετηρίαν παρέχον καὶ πρὸς φυτὰ εὔθετον· τὰ μέντοι εὔγονα τῶν ἀλόγων ζῴων φαῦλα γίνεται διὰ τὴν τῶν καρπῶν πολυπλήθειαν. εἰώθεσαν καὶ σεισμοὶ
25 γίνεσθαι ἐν τούτῳ τῷ ἔτει.

Ἔτος <ιβ'> Ἰχθύων.

Ἐν τούτῳ τῷ ἔτει τελειοῦται ἡ περίοδος, ἀνακυκλουμένη εἰς ἀπαρχὴν πάντων τούτων. πνεύσουσιν ἄνεμοι πλεῖστοι, ὅτι ἀπὸ χειμερινῆς δύσεως. καὶ ὁ μὲν <χειμὼν> ἐν ἀρχῇ εὐδιεινὸς καὶ ἄνομβρος· μετὰ δὲ

1 Ἀπηλέ P. 4 ἐπιτήδ. κτλ. eadem in *Geop.*, § 32. 5 ἡ καταρθορά P : κυνῶν καταφθορά scripsi coll. *Geop.*, l. c. (κυνῶν δὲ φθορὰ ἔσται καὶ θάλασσα χειμέριος καὶ ἄνεμοι μεγάλοι ὄψιμοι). 6 ι' add. αἰγοκέρου P. 8 τὸ add. 9 ἔαρ add. 12 φυρᾶται scripsi : φυρᾶ δὲ P. 13 ἐλαιικὸς P. 14 σεισμοὶ καὶ σώματος φθορά : cf. *Geop.*, § 34 (cetera fere omnia differunt). 17 ια' add. 18 ἄνεμοι : cf. *Geop.*, § 35 : ἄνεμοι ἔσονται πολλοὶ σύμφοροι τῷ σιτικῷ καρπῷ καὶ μάλιστα τῷ ξυλικῷ. Cetera quoque partim consentiunt. 20 περισινὰς P. 21 ἀνέσεις scripsi : καιρούς· ἀνέξει P. 23 εὔθετος P. 24 εἰώθεισαν P. 26 ιβ' et infra χειμὼν addidi.

Digitized by Google

ταύτην ὄμβρους <ἔξει> πολλοὺς καὶ μεγάλους καὶ ἀκαίρους καὶ παγώδεις. ἔσονται δὲ χάλαζαι ἐν τούτῳ τῷ ἔτει. ἐν δὲ τῷ ἔαρι πνεύσουσιν ἄνεμοι λαμπροί, ζέφυροι. καὶ τὸ μὲν θέρος ἔσται καυματῶδες, τὸ δὲ φθινόπωρον ἐπίνοσον. οἱ δὲ καρποὶ πάντες διὰ τὴν τοῦ ὄμβρου ἀκαιρίαν φθαρήσονται, εἰ μὴ κατά τινας τόπους ὁ Διονυσιακὸς ἔσται σύμμετρος. τοῖς μὲν πανυστέροις μέρεσιν οἱ χειμερινοὶ ἄνεμοι λαμπροὶ γενήσονται <σὺν> τοῖς νοτίοις· καὶ τὸ ἔτος ὅλον ποικίλον. γενήσονται ποταμοὶ πλημμυροῦντες καὶ ἡ θάλασσα χειμέριος.

II. Dodecaeteris altera.

Κριοῦ τὸ ἔτος· χειμὼν ψυχρός, μέσου δὲ τοῦ χειμῶνος νότοι πνεύσουσιν· ἄρχεται δὲ ὁ χειμὼν πρώιμος καὶ παύεται ὄψιμος. οἱ δὲ καρποὶ φθαρήσονται, μάλιστα δὲ ἀπὸ ξηροῦ ἄστρου, ἕως παγετοῦ τῆς ἰσημερίας. ἀλλὰ πολλὰ πνεύματα. τὸν δὲ σπόρον τῷ μετοπώρῳ ποιήσεις ἀπὸ τοῦ Νοεμβρίου ἡμέρας μ'. τὴν δὲ Σελήνην προλάμβανε. ἔσονται δὲ ποταμοὶ μεγάλοι. τὰ τῆς ἀμπέλου ἔρτα ὄψιμα. τὸ ἔαρ ἄνομβρον· θέρος εὔκρατον. χρεία καρπὸν ἀποθέσθαι κτηνῶν, ὁμοίως δὲ καὶ τοῦ Διονυσίου καρποῦ.

Ταύρου τὸ ἔτος εὔκρατον· ἀνθρώπων θραύσεις. ὁ χειμὼν πρώιμος μὲν ἄρχεται, ὄψιμος δὲ παύεται· ψύχος μέγα.

Διδύμων τὸ ἔτος· ἄρχεται νότιος ὁ χειμών· ὕστερον δὲ ψυχρός, χιονώδης. χρόνος καλός· εὐκαρπία δένδρων καὶ ὑετὸς πολύς. ἔαρ εὔκρατον· παντὸς ἔργου εὐτυχία. θέρος καυσῶδες καὶ πρὸς φυτείαν ἐπιτήδειον.

Καρκίνου τὸ ἔτος ἀνεμῶδες· ποταμοὶ μεγάλοι· χειμὼν πρώιμος· καὶ ὁ σπόρος ταχινὸς δι' ἡμερῶν ν', ἐπειδὴ ὄμβρους σημαίνει. ἀλλὰ καὶ τὸ θέρος ὄψιμον, ἐπειδὴ τὸ ἔαρ κατάβροχον· ἀπὸ δὲ Μαρτίου μηνὸς πνεύσουσιν ἀφηλιῶται· καρπῶν προβολαὶ καλαί, ἀλλὰ νοσοῦσι· καὶ αἱ πηγαὶ ἐκλείψουσιν. οἶνος ἐν μέρει Ἄρκτου· τὰ ὑψηλὰ φλογισθήσονται.

Λέοντος τὸ ἔτος ἀνεμῶδες· τὰς δὲ τροπὰς ἐπόμβρους ποιεῖται

1 τούτων P : correxi. ἕξει supplevi. 2 θέρει P : ἔαρι scripsi coll. *Geop.*, § 38 : ἐν τῷ ἔαρι πνεύσουσιν ἄνεμοι ζέφυροι λαμπροί, τό δὲ θέρος ἔσται καυματῶδες (reliqua differunt). 4 ἀκαίρειαν P. 7 σὺν addidi. 9 In cod. Parisino inscribitur : Περὶ τῶν ιβ' Ζωδίων· πρῶτον ψῆφος τῶν ιβ' Ζωδίων· ιβ' φ ,ϛιβ' μ· υπο' (sic) ιβ' β' καὶ δ'. [Scil. ιβ φ'· ,ϛ'. ιβ' μ'· υπ'. ο' ιβ'· μ' (pro β') καὶ ω' (pro δ') : 12 × 500 = 6000. 12 × 40 = 480. 70 × 12 = 840. (Usener).] 10 μέσον P. 12 ἄστρου : scilicet τοῦ Κυνός. 14 Νοεμβρίου conieci : ϛροϋ' P. 16 χρείας P. 20 Διδύμου P. 21 εὐκαρπίαν P. 24 ἀνεμώδης P (talia passim). 30 τῷ ἔτει P. διατροπὰς P : δὲ τροπὰς scripsi.

Digitized by Google

πρὸ η' καλανδῶν <'Ιαννουαρίων ὁ> χειμών· καὶ πάλιν ταχέως παύει. τὸ ἔαρ ἔπομβρον· τὸ θέρος καυματῶδες. πρὸ ς' καλανδῶν <'Απριλλίων> χειμὼν πνεύσει βορρᾶς. τὸν σπόρον ποιεῖν πρώιμον· ἀπὸ δὲ Νοεμβρίου μηνὸς ἀποδεέστεροι ἔστωσαν. οἱ δὲ καρποὶ σύμμετροι· καὶ πρὸς
5 φυτείαν καλόν.

Παρθένου τὸ ἔτος ἀνεμῶδες· χειμὼν εὔκρατος. σπόρος ἐναγώνιος δι' ἡμερῶν ν'· τροπαὶ γὰρ ἔσονται χειμῶνος <.....>. τὰ δὲ πεδινώτερα καρποφορήσει· καὶ ὁ Διονύσιος καρπὸς σύμμετρος· χορτασμάτων ποιεῖσθαι ἀπόθεσιν. θέρος ὑγρὸν ὅ τε τρύγητος ὑπ' ἀέρος φθαρήσε-
10 ται. καὶ πρὸς φυτὰ καλὸν καὶ τοῖς τετράποσιν εὔθετον· καὶ ἐλαίου πλησμονή.

Ζυγοῦ τὸ ἔτος· χειμὼν μέγας· παγετοὶ σφοδροί· ποταμοὶ μεγάλοι. ἔαρ ἄνομβρον· ἀπὸ ι' Αὐγούστου ἔσονται ὄμβροι σφοδροί· μετόπωρον ἀνεμῶδες· σπόρος πρώιμος· καρποὶ σύμμετροι. πρὸς φυτὰ καλόν·
15 οἶνος πολύς· καὶ τετραπόδων φθορά.

Σκορπίου τὸ ἔτος· ἀέρες πολλοί. χειμὼν εὔκρατος· προχειμασία ἰσχυρὰ ἕως δύσεως Πλειάδος. σῖτοι πολλοί. πᾶσαν ἐργασίαν προλάμβανε· πρὸς φυτὰ καλόν. τὸ θέρος δὲ ἕως τοῦ Κυνὸς ἐν σπουδῇ, διότι ἔπομβρον ἦν. ὀρνέων καὶ ἀγρίων σπανισμός· ἰχθύων κράτησις· ἐλαίου
20 πλησμονή.

Τοξότου τὸ ἔτος· πολέμους συνεχεῖς· ἀνέμους ἀρκτικούς, χιονώδεις. <χειμὼν> ψυχρότατος, ἄκαιρος, ἀκατάστατος. μετόπωρον ἀνεμῶδες· τὸν σπόρον ἀπὸ Νοεμβρίου μηνός· θέρος ὄψιμον καὶ πρὸς φυτὰ καλόν.

25 Αἰγόκερω τὸ ἔτος ἀνεμῶδες· χιὼν πολύς. ἄρχεται δὲ ὁ χειμὼν αἰφνίδιος ἀπὸ μηνὸς <...> μέχρι Φεβρουαρίου κη'. σπόρος καλὸς <καὶ> τρύγητος. οὐκ ἄρα ὀρνέων σπανισμός. ἀλλὰ καὶ σεισμοί· καὶ οἱ καρποὶ φθαρήσονται.

Ὑδροχόου τὸ ἔτος ἀνεμῶδες· ἄρχεται δὲ ὁ χειμὼν <εὔκρατος> ἀπὸ
30 ἀρχῆς 'Ιαννουαρίου μηνὸς ἕως Φεβρουαρίου ιε'· ἀπὸ δὲ τῆς λαμπάδος

1 πρὸς κ κατ' κελάδων χειμών P : qui codicem scripsit, anxie exemplaris vestigia pressisse videtur. 'Ιαννουαρίων ὁ addidi. 2 καλάνδων P : 'Απριλλίων addidi ex altera dodecaeteride, cf. supra p. 146, 25. 4 ἀποδεέστερον P. ἔστωσαν : scil. οἱ σπορεῖς. 5 φυτὰ ἄγκαλος P. 7 lacunam statui : addideris ἔπομβροι vel χειμέριοι vel tale quid. 9 ὅτε P. 10 καλὸν : scil. τὸ ἔτος. 12 ζ' ἔτος· τὸ ἔτος τοῦτο M. In margine manus altera scripsit ,ϛωκγ', idest 1315 p. Chr. n. : vides codicem antea esse scriptum. 16 Η' ἔτος· τὸ ἔτος M. χειμῶνες εὔκρατοι M : P repetivit χειμὼν εὔκρατος post πολλοί, sed scriptor ipse delevit. 17 προσλάμβανε M. 18 τὸ om. M. 21 Θ' ἔτος· ἔτος M. πολέμους : scil. ἔξει. 22 χειμὼν add. ἀκροακατάστατος P M : ἄκαιρος, ἀκατάστατος coni. Cumont. 23 ὁ σπόρος M. 25 Ι' τοῦτο τὸ ἔτος M ; in marg. man. 2 ,ϛωκς' (= 1318 p. Chr.). πολλὴ M ex correctura. 26 ἄπονος μὴν κατὰ (latet mensis) μέχρι φευρ. κη' P : ἄπονος μὴν τὸ θέρος, τόποι εὐθυνήσουσι M. καὶ add. 27 σεισμός M. 29 Ια' τοῦτο τὸ ἔτος M. εὔκρατος add. 30 λαμπάδος videtur aut festum aut stellae ortum sive occasum significare.

Digitized by Google

ἄρχονται ἄνεμοι καὶ χιὼν πολύς καὶ ὄμβροι σφοδροί· καὶ οἱ καρποὶ φθαρήσονται·<καὶ> σῖτος· οὐκ ἄρα θανατώδης χρόνος καὶ πρὸς φυτὰ καλός.

Ἰχθύες· τὸ ἔτος τούτων ἀνεμῶδες ἀπὸ δύσεως Πλειάδος. χειμὼν ἄνομβρος· ἔαρ χαλαζῶδες. σπόρος καλός· Διονύσιος καρπὸς σύμμε- 5 τρος· ἰχθύων ἡ κράτησις καὶ ζῴων ἔκλειψις. [F. B.]

1 πολλή M. 2 καὶ supplevi. 3 καλόν M. 4 ιβ' τὸ ἔτος τοῦτο M. 6 ἡ om. M. ζωδίων P.

Achmes de figuris decanorum

(Achmetis Introductionis in astrologiam caput IX)

Capitulum de figuris decanorum primo mihi contigit ut in codice *Paris. gr. 2420* (olim *Colbert.* 2079) invenirem, qui mihi summa praefectorum Bibliothecae Publicae Parisinae liberalitate huc missus erat; deinde in cod. *Marciano 334*. In utroque codice auctoris nomine caret; quem tamen Achmetem astrologum s. X fuisse codice Marciano 324 (v. supra, p. 6) comprobatur, ubi eius " Introductio et fundamentum astrologiae " fol. 202 sqq. exstat. Illius igitur operis capitulum nonum, quod in cod. Marc. 324, fol. 205ᵛ hunc in modum legitur inscriptum: Τὰ πρόσωπα τῶν ἀστέρων εἰς τοὺς δεκανοὺς τῶν ζῳδίων πρὸς τὰς τῶν ἀστέρων μορφὰς ἐδιτυρι sumus: neque tamen ex cod. Marc. 324, qui nobis praesto non erat, sed ex codd. Marciano 334, s. XIV (M) fol. 116 sqq. et Parisino 2420, s. XVI (P) fol. 166ᵛ sqq. In utroque secundus Leonis decanus omissus est: qua re ex eodem archetypo eos fluxisse elucet, ita tamen ut Parisinus ubique fere pleniorem et integriorem exhibeat lectionem, Marcianus saepissime correctam et interpolatam. Ceterum ex hoc ipso Achmetis capitulo iam Meursius nescio quo codice usus nova quaedam vocabula (πέδουκλον et γονάχιον) in Glossarium graecobarbarum (p. 527 et 137) recepit: cf. Cangium I, 1139 et II, 42.

Decanorum figurae et munera ab Achmete minime ficta sunt. Nam eadem fere leguntur apud Albumasarem in libro sexto Introductorii in astronomiam (latine editi Aug. Vind. 1489) et apud Avenarem sive Aben-Ezram, quem latine vertit Scaliger in notis ad Manilium [1655] p. 336-347. Uterque sphaeram *Indicam* se tradere affirmant. Ac ne Indi quidem hoc doctrinae genus invenere, quamquam eos plurima de suo immutasse et addidisse consentaneum est. Nam Teucrum Babylonium saeculi primi ut videtur scriptorem similia exposuisse Psellus testatur (*Lect. mir.*, ed. Westermann, *Paradoxogr.*, p. 147, 21 sqq.): Ἀπὸ δὲ τῶν Τεύκρου τοῦ Βαβυλωνίου πολλά τις ἂν εὕροι θαυμασιώτατα ἀπό τε τῶν ἐν οὐρανῷ ζῳδίων καὶ ἀπὸ τῶν παρανατελλόντων ἑκάστῳ τούτων καὶ ἀπὸ τῶν λεγομένων δεκανῶν παντοδαπὰς ἀφορμὰς ἐν διαφόροις πράξεσι ποριζόμενος. εἰσὶ γὰρ ἐν ἑκάστῳ τῶν ζῳδίων τρεῖς κατειλεγμένοι δεκανοὶ ποικιλόμορφοι, ὁ μὲν κατέχων πέλεκυν, ὁ δ' εἰς ἄλλο τι ἐσχηματισμένος εἰκόνισμα ὧν εἰ τὰ εἴδη καὶ τὰ σχήματα ἐν δακτυλίων ἐγγλύψεις σφενδόνη, ἀποτρόπαιά

Digitized by Google

σοι δεινῶν γενήσεται. Quod autem Psellus securi armatum decanum prae ceteris nominaverit, id mero casui non debetur. Etenim ita *primum primi signi id est Arietis decanum* fictum esse et ab Achmete discimus et ara illa celeberrima a. 1705 in Monte Aventino effossa, de qua Bianchinus v. cl. primus egit. Itaque Indorum doctrina ab Achmete tradita fontem quendam Graecum sapere videtur[1].— Sermonem semibarbarum, quo haec aevo Byzantino ex lingua Arabica translata sunt, corrigere non licere non est quod moneam. [F. B.]

F. 116. Περὶ δεκανῶν ἤτοι περὶ μορφῆς καὶ προσώπων τῶν ιβ' ζῳδίων καὶ πρὸς τίνα τῶν ζ' ἀστέρων ἔχουσι συγγένειαν.

Ἕκαστον ζῴδιον τρία πρόσωπα ἔχει ἤτοι τρεῖς δεκανοὺς καὶ ἕκαστον πρόσωπον πρὸς ἕνα τῶν ἑπτὰ ἀστέρων συγγένειαν ἔχει.

Ὁ μὲν πρῶτος δεκανὸς τοῦ Κριοῦ τοῦ Ἄρεώς ἐστιν· ἐν τῇ χειρὶ αὐτοῦ ἀξίνη, ἣν καὶ θέλει ἀπορρίψαι· μελίχρους, μανιώδης· ὀφθαλμοὶ ὕφαιμοι· περιεζωσμένος ἱμάτια, ἀνυπόδητος.

Ὁ δὲ δεύτερος δεκανὸς Κριοῦ Ἡλίου ἐστί, διότι οἶκος αὐτοῦ Λέων ἐστί· γυνή· περὶ αὐτὴν ἱμάτια ἐρυθρά, εἰς τὸν πόδα αὐτῆς ἀφανισμὸν ἔχουσα· μορφὴ αὐτῆς ἵππου· ὁ νοῦς ταύτης εἰς τὰ μυρίσματα καὶ τὸν ἱματισμὸν καὶ τὸν χρυσόν.

Ὁ δὲ τρίτος δεκανὸς Κριοῦ τοῦ Διός, διότι οἶκος αὐτοῦ <Τοξότης· ἄνθρωπος· ἐν τῇ χειρὶ αὐτοῦ> ῥάβδος, ἐφ' ἣν ἀναπέπαυται· θυμώδης, ξανθός· ἐπὶ αὐτὸν ἱμάτια ἐρυθρά· θέλων τὸ ἀγαθὸν καὶ μὴ ποιῶν· θέλει γὰρ τὸ ἀγαθόν, διότι πρόσωπόν ἐστι Διός, κωλύεται δὲ παρὰ Ἄρεως, διότι οἶκος αὐτοῦ ἐστιν· ἔχει δὲ τὰς χεῖρας βεβαρυμένας καὶ ἐρτάζεται τὸν σίδηρον.

Καὶ ὁ πρῶτος δεκανὸς Ταύρου Ἀφροδίτης· γυνὴ πλατυμέτωπος, κλαστόθριξ. μορφὴ αὐτῆς μορφὴ ἐλευθέρας· κεκαυμένα τὰ ἱμάτια αὐτῆς· ἡ μέριμνα ταύτης συναγωγὴ ἱματίων· τέκνων ἔχουσα κόσμια· καὶ αὐτὴ θέλει προσθεῖναι ἔτι καὶ ἔτι.

Ὁ δεύτερος δεκανὸς <Ταύρου> Ἑρμοῦ, διότι οἶκος αὐτοῦ Παρθένος ἐστίν· ἄνθρωπος· μορφὴ τούτου μορφὴ καμήλου, ὁ τράχηλος δὲ ταύρου· ἐσθῖει ὥσπερ πρόβατον. περὶ αὐτὸν ἱμάτια λευκὰ ἀπὸ χρήσεως· μέριμνα τούτου ἡ σπορὰ καὶ <ἡ> κατάστασις τοῦ οἴκου καὶ τὰ ζευκτὰ καὶ εἰς τοῦτο καταντᾷ.

1 Περὶ om. P. 5 τὴν συγγένειαν M. 6 καὶ Ἄρεως P. 7 ἣν P. 10 ἀφανισμόν: i. e. alter pes deest ("unipede figura" Avenar). 11 μυρίσματα καὶ partim evanuerunt M. 13 δὲ om. P. τοῦ ante Κριοῦ add. M. διότι P : καθό M. Verba Τοξότης usque ad αὐτοῦ addidi. 16 κωλύονται M P. περὶ P. 19 Ἀφροδίτη P M; sic saepius nominativus pro genitivo in codd. P M ponitur. 20 κλασθόθριξ P M ("crispa" Albumasar). 22 αὐτὸ M. 24 αὐτοῦ M. 26 ἡ addidi.

[1] Plane diversa ab his docet Hermes ed. Pitra, *Analecta sacra et prof.*, V, 2, p. 285 sqq.

Digitized by Google

Ὁ τρίτος δεκανὸς Ταύρου Κρόνου, διότι ὁ οἶκος αὐτοῦ Αἰγόκερώς ἐστι· <ἄνθρωπος> μακρόδους καὶ λευκοὺς τούτους ἔχων, ὠχρὸς τὴν χροιὰν καὶ τὰς τρίχας· μορφὴ αὐτοῦ μορφὴ λέοντος καὶ ἐλέφαντος· εἰς τὸν πόδα αὐτοῦ οἷον ἅλας· εὐμετάβλητος τὴν ψυχήν· μέριμνα αὐτοῦ τὰ γονάχια καὶ οἱ τάπητες· ἐπὶ αὐτὸν Μαῦρος. 5

Ὁ πρῶτος δεκανὸς Διδύμων Ἑρμοῦ· γυνὴ μακρά, εὔοπτος· μέριμνα εἰς τέκνα καὶ ἐγκυμονῆσαι, ἔχουσα γνῶσιν εἰς τὸ ῥάφιον καὶ τὰ ὅμοια τούτων.

Ὁ δεύτερος δεκανὸς Διδύμων Ἀφροδίτης, διότι οἶκος αὐτῆς Ζυγός ἐστι· <ἄνθρωπος>· μορφὴ αὐτοῦ μορφὴ γρυπός· ἐκράνωσε τὴν κεφα- 10 λὴν αὐτοῦ εἰς τὴν ῥάβδον αὐτοῦ· περὶ αὐτὸν Ζάβα καὶ ἐπικράνιον, μετ' αὐτοῦ τόξον καὶ βολίδες· μέριμνα τούτου περικεῖσθαι ἐπ' αὐτὰ τὰ κόσμια καὶ τὸ καθέζεσθαι εἰς τοὺς κήπους καὶ ἔνθα αἱ ὁσμαί.

Ὁ τρίτος δεκανὸς τῶν Διδύμων Κρόνου, διότι οἶκος αὐτοῦ Ὑδροχόος ἐστίν· ἄνθρωπος, ζητῶν ἀνθρώπους. περὶ αὐτὸν Ζάβα· μετ' αὐτοῦ τόξον 15 καὶ βέλη· μέριμνα τούτου τῶν τραγῳδῶν καὶ τὰ εἴδη τῶν φωνῶν· φορῶν κόσμια καὶ ἱμάτια.

Ὁ δὲ πρῶτος δεκανὸς Καρκίνου <Σελήνης>· ἄνθρωπος ἔχων τὴν ὄψιν πλαγίαν καὶ ὑπόστρεβλον. μορφὴ αὐτοῦ μορφὴ ἐλέφαντος καὶ ἵππου· εἰς τοὺς πόδας αὐτοῦ ὥσπερ χροΐδιον· φορεσία αὐτοῦ φύλλα καὶ 20 οἱ καρποὶ τῶν δένδρων. μέριμνα τούτου τὰ δάση καὶ ἐν αὐτοῖς οἰκεῖν.

Ὁ δεύτερος δεκανὸς Καρκίνου Ἄρεως, διότι οἶκος αὐτοῦ Σκορπίος ἐστί· γυνὴ εὐειδής. ἐπὶ τὴν κεφαλὴν αὐτῆς στέφανος πεπλεγμένος χροαῖς καὶ ὁσμαῖς πυρραῖς. ἡ μέριμνα αὐτῆς εἰς τὰς τραγῳδίας καὶ τὸν πλοῦτον· ἐν τῇ χειρὶ αὐτῆς κλάδος δένδρου. καὶ αὕτη κράζει. 25

Ὁ τρίτος δεκανὸς Καρκίνου Διός, διότι οἶκος αὐτοῦ Ἰχθύες· ἄνθρωπος, εἰς τὴν χεῖρα αὐτοῦ ὄφιν ἀποτανύων· ὄπισθεν αὐτοῦ ὁ ποὺς αὐτοῦ· τὸ κάλλος ἐπ' αὐτόν· περὶ αὐτὸν κόσμια· μέριμνα τούτου ἐπιβῆναι πλοίοις καὶ ἐν θαλάσσῃ καὶ ζήτησις χρυσοῦ καὶ ἀργύρου· κοσμεῖ γυναῖκας.

Ὁ δὲ πρῶτος δεκανὸς Λέοντος Διός, διότι ὁ οἶκος αὐτοῦ Τοξότης· 30 ἄνθρωπος· ἐν τῇ κεφαλῇ αὐτοῦ ὁσμαὶ λευκαὶ καὶ στέφανος· λαλῶν περὶ κλεψιμαίων· ἐν τῇ χειρὶ αὐτοῦ τόξον· ῥὶς αὐτοῦ, οἷον σινάπεως· ὀπίσθια λέοντος· περὶ αὐτὸν ἱμάτιον ἐοικὸς λεπίσιν ἰχθύος.

1 τοῦ Ταύρου M. ὁ om. M. 2 τούτους : sc. τοὺς ὀδόντας. (Cf. Albumasarem : Iuxta Indos vir valde albis dentibus.) 3 αὐτοῦ P : τούτου M. μορφή om. M. 4 τὰ om. M. 5 γονάχια : significatio ignota est Meursio (gloss. p. 137). [Idem videtur ac ὑπογονάτια (pulvinaria); cf. infra in primo decano Aquarii (Cumont)]. μαῦρος P : μέλας M. 10 αὐτῆς M P. μορφή om. M. ἐκράνωσε verbum ignotum. 15 ζητῶν ἀνθρώπους videtur falsum; Albumasar " vir arma indueuda quaerens „. 18 δὲ om. M. 19 μορφὴ altero loco om. M. 20 φορεσία P : ἔνδυσις M. φέλλα M. 21 καὶ αὐτῷ P : καὶ αὐτά M. 23-24-25 αὐτοῦ P. 24 πυροῖς M P. 25 ταύτη P. καὶ - κρ. om. M. 27 ἀναπεταννύων M. ὁ om. P. 29 ζήτησιν P. ἀργυρίου P. 30 τοῦ λέοντος M. 32 ῥίνα P. συνάπεως M. 33 ἐοικὼς P. Secundus Leonis decanus desideratur, sed quae hic de primo inveniuntur, Albumasar de secundo dicit.

Digitized by Google

Ὁ τρίτος δεκανὸς τοῦ Λέοντος Ἄρεως, διότι οἶκος αὐτοῦ ὁ Κριός. μορφὴ αὐτοῦ, ἀνθρώπου· ὁμοίωμα τούτου πιθήκου· ἐπὶ αὐτὸν ἱμάτια· καὶ κύκλῳ αὐτοῦ ψώρα καὶ κνησμονή· ἐν τῇ χειρὶ αὐτοῦ ῥάβδος.

Ὁ πρῶτος δεκανὸς Παρθένου <Ἑρμοῦ>· κόρη. ἐπὶ αὐτὴν ἱμάτια
5 ἀπὸ χρήσεως <λευκά>· μετ' αὐτῆς σπυρὶς ἔχουσα εὐοσμίαν· μέριμνα αὐτῆς ἐπισκέπτεσθαι τὸν πατέρα καὶ τὴν μητέρα καὶ τοὺς διδασκάλους καὶ συναγωγὴ κοσμίων καὶ φορεσίας καὶ ἀνθῶν.

Ὁ δεύτερος δεκανὸς Παρθένου Κρόνου, διότι οἶκος αὐτοῦ Αἰγόκερως· ἄνθρωπος μέλας τῷ εἴδει· πάνυ κατάτριχος τὸ σῶμα ὤν· ἐπ'
10 αὐτὸν ἱμάτια δερμάτινα· καὶ τὰ λέπη τῶν δένδρων καὶ πρανδία. ἐν τῇ χειρὶ αὐτοῦ καλαμάριον. ἡ μέριμνα αὐτοῦ εἰς ψήφους καὶ γράμματα.

Ὁ τρίτος δεκανὸς Παρθένου Ἀφροδίτης, διότι οἶκος αὐτῆς Ταῦρος· ἄνθρωπος γενναῖος, λευκός· περὶ αὐτὸν ἱμάτια πεπλυμένα· ἐπ' αὐτὰ κοιμώμενος· μέριμνα αὐτοῦ κτίσμα ἐκκλησιῶν καὶ ναῶν.

15 Ὁ πρῶτος δεκανὸς Ζυγοῦ Ἀφροδίτης· ἄνθρωπος· ἐν τῇ χειρὶ αὐτοῦ μέτρον καὶ ζυγός· ἐν ἐργαστηρίοις καὶ ἀγοραῖς, ἐν μέτροις καὶ σταθμοῖς· πράσεων καὶ ἀγορασιῶν ἔχων θεωρίαν.

Ὁ δεύτερος δεκανὸς Ζυγοῦ Κρόνου, διότι οἶκος αὐτοῦ Ὑδροχόος· ἄνθρωπος· μορφὴ αὐτοῦ μορφὴ ἀετοῦ πεινῶντος καὶ διψῶντος·
20 ἐπιθυμία αὐτοῦ εἰς τὸ ζευχθῆναι καὶ περὶ τέκνων.

Ὁ τρίτος δεκανὸς Ζυγοῦ Ἑρμοῦ, διότι οἶκος αὐτοῦ Δίδυμοι· ἄνθρωπος· μορφὴ κεφαλῆς ἵππου καὶ τὸ λοιπὸν τοῦ σώματος αὐτοῦ μορφὴ ἀνθρώπου· ἐπὶ αὐτὸν ἱμάτια· κατέχει τόξον, εἰς ὃ ἐτόξευσε, καὶ βολίδας· μέριμνα αὐτοῦ τὰ δάση καὶ αἱ ὕλαι.

25 Ὁ πρῶτος δεκανὸς τοῦ Σκορπίου Ἄρεως· γυνή· μορφὴ αὐτῆς μυρσίνης· ὀνομαζομένη εὐγενής· μέριμνα αὐτῆς εἰς τὰς γενεὰς καὶ τὰς οἰκήσεις καὶ τὸ χρῆμα καὶ τὴν τροφήν.

Ὁ δεύτερος δεκανὸς Σκορπίου Διός, διότι οἶκος αὐτοῦ Ἰχθύες· γυνὴ εὔοπτος δήσασα εἰς τὸν πόδα αὐτῆς ῥάμμα· καὶ οὐκ ἔστιν ἐπ' αὐτὴν
30 κόσμια οὔτε ἐνδυμάτων τι· οἴκησις αὐτῆς ἡ θάλασσα καὶ θέλει εἰς τὴν ξηράν.

Ὁ τρίτος δεκανὸς Σκορπίου Σελήνης, διότι οἶκος αὐτῆς Καρκίνος· ἄνθρωπος ἔχων κύνας ἐπὶ αὐτὸν· ἀδάμας· ἔχων λέοντα ἀφῃρημένον τὴν κεφαλήν· κεφαλὴ μεγάλη· θέλων ποιῆσαι ἀγαθὸν εἷς ἐκ τοῦ ἄλλου.

35 Ὁ πρῶτος δεκανὸς Τοξότου Διός· τὸ ἥμισυ τούτου ἵππος· καὶ ὁ

1 τοῦ om. M. 3 καὶ κύκλῳ : καὶ om. M. αὐτοῦ om. M. 4 Παρθένου κόρη Παρθένου M : κόρη Παρθ. P. 5 χρύσεως P. λευκά supplevi : cf. supra, p. 153, 25. εὐκοσμίαν M. 7 ἀνθῶν conieci : ἀνδρός M P. 10 καὶ πρανδία om. M. Sensum non expedio. (Albumasar : triplici panno indutus corio serico linteo). 18 δ. οἶκ. α. Ὑ. om. M. 19 μορφή altero loco om. M. 20 παρά M. 21 αὐτοῦ om. M. 23 κατέχων M. εἰς ὃ P M (pro dativo instrumentali). 28 διότι - Ἰχθύες om. M. 29 δέσασα P. γράμμα P. καὶ ἔστιν· οὐκ ἔστιν M P. 30 οὔτε M : οὐκ ἐν P. 32 διότι - Καρκίνος om. M : Καρκίνος Σκορπίος P. 33 κύνα M. 34 εἷς ἐκ τοῦ ἄλλου : verba mira; sed nihil mutandum : " ab invicem „ Albumasar.

Digitized by Google

τράχηλος καὶ ἡ κεφαλὴ ἀνθρώπου· κατέχων τόξον καὶ βολίδας· φορῶν δύο ἱμάτια λινᾶ· τηρῶν <τὸν> τόπον τῶν <. . . .>.

Ὁ δεύτερος δεκανὸς Τοξότου Ἄρεως, διότι οἶκος αὐτοῦ <Σκορπίος>· γυνὴ μέση εὐμορφίας καὶ ἀπρεπείας· τρίχες χονδραί· καθημένη ἐπὶ τῶν γονάτων· ἤνοιξε σκευάριον καὶ εἰς τοῦτο ἀτενίζει. 5

Ὁ τρίτος δεκανὸς Τοξότου Ἡλίου, διότι οἶκος αὐτοῦ ὁ Λέων· ἄνθρωπος· ἡ χροιὰ αὐτοῦ χροιὰ χρυσοῦ· ἐπὶ κλίνην τερπνήν· ἐπ' αὐτὸν ὠμοφόριον καὶ λέπη τῶν δένδρων· ἐν τῇ χειρὶ αὐτοῦ ῥάβδος καὶ ἐπ' αὐτὴν ἀναπαύεται.

Ὁ πρῶτος δεκανὸς Αἰγόκερω Κρόνου, διότι Κρόνου <οἶκος Αἰγόκε- 10
ρως· ἄνθρωπος·> πολύτριχός ἐστι τῷ σώματι· μορφὴ τοῦ συάγρου· οἱ ὀδόντες αὐτοῦ οἷον τρίβολοι· ἔχων [πέδουκλα καὶ] λῖνον τῶν ἰχθύων καὶ πέδουκλα ἀλόγων.

Ὁ δεύτερος δεκανὸς Αἰγόκερω Ἀφροδίτης, διότι οἶκος αὐτῆς Ταῦ-
ρος· ἄνθρωπος· ἐπ' αὐτὸν ἱμάτια λεοπάρδινα· ἐνειλημμένος πάλλιον· 15
κεκοσμημένα ἔχων ἱμάτια.

Ὁ τρίτος δεκανὸς Αἰγόκερω Ἑρμοῦ, διότι οἶκος αὐτοῦ Παρθένος· γυνὴ εὐόφθαλμος, εὐειδὴς τῇ θεωρίᾳ, μελίχρους, ἐπιδέξιος τοῖς ἔργοις· μέριμνα αὐτῆς εἰς κατασκευὴν καὶ κοινωνίαν πραγμάτων.

Ὁ πρῶτος δεκανὸς Ὑδροχόου Κρόνου· <ἄνθρωπος>· μορφὴ αὐτοῦ 20
δύο ἀετῶν· ἐν τῇ χειρὶ αὐτοῦ γονάχιον καὶ τάπης καὶ πάλλιον· μέριμνα αὐτοῦ εἰς τὰ πράγματα ἃ δίδονται τὸ ἄλειμμα καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ.

Ὁ δεύτερος δεκανὸς Ὑδροχόου Ἑρμοῦ· διότι οἶκος αὐτοῦ Δίδυμοι· μακροπώγων· μορφὴ τοῦ προσώπου αὐτοῦ μορφὴ ἵππου· ἐν τῇ χειρὶ αὐτοῦ τόξον γέμον βολίδος· εἰς δὲ τὸν ὦμον βαστάζει κάλπην ἔχουσαν 25
ὑακίνθους καὶ σμάραγδον καὶ ἀπὸ τῶν λοιπῶν μετάλλων.

Ὁ τρίτος δεκανὸς Ὑδροχόου Ἀφροδίτης, διότι <οἶκος> αὐτῆς Ζυγός. ἄνθρωπος μελίχρους, ἔχων ἐν τοῖς ὠσὶν αὐτοῦ πολλὰς τρίχας, εὐκαταφρόνητος, ἀσθενής· ἐπ' αὐτὸν στέφανος ἀπὸ φύλλων καὶ ὀπῶν καὶ καρπῶν· ἔχων ἐργαλεῖα σιδηρᾶ ὑπ' αὐτοῦ· καὶ ἐρχόμενος. 30

2 τηρῶν τόπον τῶν om. M. τὸν supplevi; " tendens ad locum cum rama „ Albumasar. 3 διότι - Σκορπίος om. M. Σκορπίος om. P: supplevi. 4 ἡ γυνή P. μέσης P M: corr. Cumont. εὐπρεπείας M. 5 σκευρινόν P: in margine man. 2 ἴσως σκευάριον (quod habetur in M). 7 ἡ χρ. αὐτ. χρυσῆ M. 10 οἶκος - ἄνθρωπος supplevi. 11 ἐστι om. M. οἱ om. P. 12 κλίνον P. πέδουκλα καὶ seclusi. 13 καὶ πέδουκλα ἀλόγων om. M. Vocabulum πέδουκλον ex hoc loco recepit Meursius in gloss. p. 527, qui haec scribit: Πέδουκλον, Pedungula, Ungula pedis. Achmes in introd. in Mathem. μορφὴ ὡς συάγρου, ὀδόντες ὡς τριβόλοι, ἔχων πέδουκλα ἀλόγων. 14 διότι - Ταῦρος om. M. 15 λεοπάρδια P. παλλίον κεκομμένα M. 17 διότι - Παρθένος om. M. 18 τῇ θεωρίᾳ om. M. 19 κοινῶν M. 21 τάπος P. 23 διότι - Δίδυμος om. M. 24 τοῦ προσώπου et μορφή et αὐτοῦ om. M. μορφὴ οἴκου P M: ἵππου corr. ex Albumasare. 25 πλῆρες βολίδων M. δὲ om. M. βαστάζων M. 26 ἀπὸ om. M. 27 διότι - Ζυγός om. M. 29 ὀπῶν: " resina „ Albumasar. 30 σίδηρα P. ὑπ' αὐτὸν scripsi: ὑπαύγων P; om. M. καὶ ἐρχόμενος: " Laborans ut loco transmutet „ Albumasar.

Digitized by Google

Ὁ πρῶτος δεκανὸς Ἰχθύων Διός· ἄνθρωπος· ἐν τῇ χειρὶ αὐτοῦ στόμωμα καὶ ἰχθύες δύο· ἐπ' αὐτὸν ἱμάτια λινά· τὰ πλοῖα ἡ μέριμνα αὐτοῦ καὶ ἡ εἰς τὰ ἴδια ἐπιστροφή· καὶ περιοδία τῆς γυναικὸς αὐτοῦ.

Ὁ δεύτερος δεκανὸς Ἰχθύων Σελήνης, διότι οἶκος αὐτῆς Καρκίνος· γυνὴ ἐν πλοίῳ, εὐειδής, ἐν θαλάσσῃ, λευκή, εὐμορφόσωμος, ὑποδεικνύουσα ἑαυτῆς τὴν φύσιν, ἔχουσα σφαῖραν· καὶ γείτονες καὶ φίλοι. μέριμνα αὐτῆς ὑποστρέψαι εἰς τὴν ξηράν.

Ὁ τρίτος δεκανὸς τῶν Ἰχθύων Ἄρεως, διότι οἶκος αὐτοῦ Σκορπίος ἐστίν· ἄνθρωπος τανύσας εἰς τὸν πόδα αὐτοῦ ὄφιν, ἕως ἂν ἐφάνη γυμνός· οὐκ ἔχει ἱμάτιον· ποιεῖται τοὺς λῃστάς. F. B.

F. 143ᵛ. Τοῦ Δωροθέου περὶ ἀρρώστων.

Ὑπόθου τὸν ὡροσκόπον τὸν νοσοῦντα, τὸ δὲ δῦνον τὸν τόπον οὗ ὁ νοσῶν κατάκειται καὶ αὐτὴν τὴν νόσον ὁποία τις ἔσται, τὸ μεσουράνημα τὸν ἰατρόν, τὸ ὑπὸ γῆν τὴν ἀπόβασιν τῆς νόσου· ὡσαύτως καὶ ἡ Σελήνη σημαίνει τίς ἡ νόσος καὶ ποία καὶ τίς ἡ αἰτία αὐτῆς. ὅταν οὖν ὁ ὡροσκόπος ὑπὸ τῶν κακοποιῶν θεωρῆται, τὸ δὲ δῦνον ὑπὸ τῶν καλοποιῶν, σημαίνει τὸν νοσοῦντα βαρέως ἔχειν καὶ χρονίζειν ἐν τῇ ἀρρωστίᾳ· ἐὰν δὲ τὸ μεσουράνημα κακωθῇ, σημαίνει τὸν νοσοῦντα κακῷ περιτυχεῖν ἰατρῷ καὶ τοῦ ἰητροῦ εἶναι τὸ ἔγκλημα. τὸ δὲ ὑπὸ γῆν ὑπὸ τῶν κακοποιῶν θεωρούμενον κίνδυνον σημαίνει τοῦ νοσοῦντος ἀναμφίβολον· ἐὰν δὲ ὑπὸ ἀγαθοποιῶν, σωτηρίαν σημαίνει. βλέπε δὲ καὶ ποῖος ἀστὴρ ἐποίησε τὴν νόσον ἤτοι τὸν πρὸ ὀλίγων ἡμερῶν τῆς νόσου δυτικὸν γενόμενον ἢ ὕπαυγον τετραγωνίζοντα τὴν Σελήνην ἢ διαμετροῦντα καὶ βλέπε πότε τὸ σχῆμα ἀλλάσσει ἤτοι εἰς ἀνατολὴν καὶ τὰ λοιπὰ σχήματα, καὶ τότε ὑγεία τῷ νοσοῦντι ἔσται. W. K.

F. 145. δ'. Περὶ ἐμέτου καὶ καθάρσεως.

Τοὺς δὲ ἐμέτους καὶ τὰς καθάρσεις ποιεῖσθαι τῆς Σελήνης ληγούσης καὶ πρὸς τοὺς ἀγαθοποιοὺς σχηματιζομένης ἢ συναπτούσης, παραφυ-

3 ἡ om. M [" pergens domum suam Avenar "]. αὐτοῦ : scil. μέριμνα αὐτοῦ. 4 Σελήνης om. P. διότι - Καρκίνος om. M. 6 ἔχουσαν P M. γείτονας M [" cum ea cognati eius et noti, ipsa portum desiderans " Albumasar]. 7 ἔχουσα μέριμναν M. αὐτῆς om. M. 8 διότι - ἐστίν om. M. 9 ἕως - γυμνός om. M. 10 Post λῃστάς haec sequuntur in P M : Καὶ ἡ πρώτη κάταρξις ὁ Σκορπίος καὶ <ὁ> Ὑδροχόος <καὶ> οἱ Ἰχθύες [αὐτῶν] ὅταν ὦσιν (εἰσιν P) ἀνατολικοὶ καὶ προσθετικοὶ καὶ εὔδρομοι (εὐδόκιμοι P), διότι τότε εἰσὶ δυνατοί. καὶ ἡ δύναμις αὐτῶν ἐν τῇ ψήφῳ ταύτῃ (om. M) ἡ βασιλεία. Quae huc non pertinere manifestum est. 12 οὖ] ὃν M. 19 ἰητροῦ solum formae pristinae vestigium; in sequentibus quattuor capitibus item e Dorotheo haustis nihil eiusmodi superest. 22 Πρὸ] πρός M. 24 ἤτοι = scilicet; stella quae antea occulta fuit et tetragona vel diametra ad Lunam, ubi oritur, etiam radiationem immutat. 26 Hoc quoque caput e Dorotheo sumptum esse e loco quem obtinet concluseris; idem esse videtur in cod. Flor. 12, f. 24, et in Veneto 7, f. 68ᵛ.

Digitized by Google

λάττεσθαι δὲ ἵνα μὴ εἰς Κριὸν ἢ εἰς Σκορπίον σχῇ τὴν σύστασιν· βλαβερὸν γάρ· μηδὲ ἐν Ἰχθύσι καὶ Καρκίνῳ καὶ Παρθένῳ· ἐμοῦσι γάρ· ἐν δὲ ἀνθρωποειδεῖ ζῳδίῳ μάλιστα δεῖ δοῦναι, οἷον Διδύμοις, Ζυγῷ, Τοξότῃ, Ὑδροχόῳ· δοτέον δὲ ἐὰν κατεπείγῃ καὶ Κριῷ καὶ Σκορπίῳ· πλὴν μυκῶνται καὶ αὐτὸν καὶ πρὸς ἔμετον ἐρεθίζουσιν. ὁμοίως δὲ καὶ Λέων. ἐν δὲ Σκορπίῳ μᾶλλον δότω· ὥσπερ γὰρ ὁ Σκορπίος τῶν κρυπτῶν ἐστιν ἐρευνητής, οὕτω καὶ ἡ κάθαρσις ἐρευνᾷ καὶ καθαίρει πᾶσαν τὴν ἔνδον κοιλίαν. ἐν Αἰγοκέρωτι μηδαμῶς· στρόφους γὰρ ἐμποιεῖ διὰ τὸ ἑλικτικὸν τῆς οὐρᾶς αὐτοῦ. ἁρμόζει δὲ τὰς καθάρσεις τῆς Σελήνης τὸν ἄνεμον καταβαινούσης καὶ ἐν τῷ καταβιβάζοντι· ἐπιτήδειον δὲ ζῴδιον πρὸς ἔμετον ὁ Κριὸς [ὁ Σκορπίος], διότι μυκᾶται.

Ὁ ὡροσκόπος ἔοικεν ἀέρι· διὰ γὰρ τοῦτο καὶ θερμότερός ἐστι καὶ ὑγρός· τὸ δὲ μεσουράνημα ἔοικε πυρί· διὰ γὰρ τοῦτο θερμὸν καὶ ξηρόν ἐστι· τὸ δῦνον ἔοικεν ὕδατι· διὰ γὰρ τοῦτο ψυχρὸν καὶ ὑγρόν· τὸ ὑπόγειον γῇ· διὰ γὰρ τοῦτο ψυχρὸν καὶ ξηρόν. W. K.

F. 181. νε'. Περὶ τῶν δώδεκα τόπων.

α' ζωῆς, πνεύματος, σώματος, οἴαξ βίου. — β' βίου, δόσεως, λήψεως, κοινωνίας, νεκρικῶν ὠφελειῶν, διαθήκης, πλούτου. — γ' ἀδελφῶν, φίλων, ξένων, βασιλικῶν συγγενῶν καὶ θείων καὶ ἀποδημίας. — δ' γονέων, κτημάτων, κινδύνων, θανάτου, συνοχῆς, μυστικῶν πραγμάτων. — ε' τέκνων, φιλίας, κοινωνίας, σωμάτων, ἀπελευθέρων, περιποιήσεως ἀγαθοῦ καὶ εὐεργεσίας καὶ εὐφροσύνης. — <ς' δούλων, σίνους, ἔχθρας, πάθους, ἀσθενείας>. — ζ' γάμου, θανάτου, γυναικείων ἐπιπλοκῶν, ξενιτείας ἐναντίων. — η' θανάτου, νεκρικῶν ὠφελειῶν, βλάβης, δίκης, ἀργίας, φόβου. — θ' φιλίας, ἀποδημίας, ξενιτείας, θυμοῦ, βασιλέως, δυνάστου, ἀστρονομίας, χρηματισμοῦ θείου, μαντείας, πίστεως. — ι' πράξεως, δόξης, προκοπῆς, μεταβολῆς καὶ καινισμοῦ, πραγμάτων ἐξουσιαστικ(ῶν) † ὠφέλιμα. — ια' φίλων, ἐλπίδων χρηστῶν, δωρεᾶς, σωμάτων, ἀπελευθέρων, εὐτυχίας. — ιβ' ξένης, ἔχθρας, δουλείας, σίνους, κινδύνων, κριτηρίων, πάθους, ἀσθενείας, θανάτου τετραπόδων ζῴων. W. K.

1 Scorpii signum et hic et infra v. 3 perperam positum pro Tauro. 4 sc. si *Luna* imminet Arieti vel Tauro. 5 μυρηκῶνται M. ἐροθίζουσιν et 6 λέγων M. 10 sc. ποιεῖσθαιτῆ ☾ τὸν ἄνεμον καταβαίνων M. sc. (secundum Val. I, 13) inter Taurum et Cancrum Luna per septentrionalia ascendit, inter Leonem et Libram descendit; inter Aquarium et Arietem per meridionalia ascendit, inter Scorpium et Capricornum descendit. 13-16 huc pertinere non videntur. 14 ξηρόν]ὑγρόν M. 17 sqq. Haec paene ad verbum descripta e Valente, IV, 15. 19 διαμίκης M. 20 ξενιτεία ἐξουσία βασιλεία Val. 22 περιποιήσεως] ἐκποιήσεως Val. : περιπο ἢ(γουν) M. 23 suppl. ex Val., in cuius cod. Hamb. et Seld. septimus locus omissus est. 27 θυμ M : θεοῦ Val. 29 in πραγμάτων noni loci decreta desinunt apud Val.

Digitized by Google

F. 182v. ε'. Περὶ τῶν ἐν ξένῃ θανόντων.

Ἐπὶ ξένης δὲ οἱ θάνατοι γίνονται τῶν τοὺς ἀναιρετικοὺς τόπους κατασχόντων ἀστέρων ἐν ἀποκλίμασιν ἐμπεσόντων καὶ μάλιστα, ὅταν καὶ ἡ Σελήνη παροῦσα ἢ (τετραγωνίζουσα) ἢ (διαμετροῦσα) τύχῃ τοὺς εἰρημένους τόπους. ἄλλοι δὲ σκοποῦνται περὶ θανάτου ἀπὸ τοῦ η' τόπου ἐκ τοῦ εἴδους αὐτοῦ καὶ τὴν φύσιν αὐτοῦ ὁρῶντες καὶ τὸν τούτου δεσπότην καὶ τοὺς συσχηματιζομένους ἀστέρας καὶ ἐκ τούτων ἀποφαίνονται καὶ τὰ εἴδη τοῦ θανάτου ὁμοίως ταῖς προλελεγμέναις φύσεσιν ἀστέρων καὶ ζῳδίων. ἄλλοι δὲ ἐκ Μήνης εἰς ὄγδοον ὡρονόμοιο ζῴδιον ἀριθμήσαντες ἀποκρούουσιν· εἰς ὃν δὲ λήξει τόπον καὶ ἄνακτα τόποιο, σκέπτεται τούτων ἐπιμάρτυρας. W. K.

1 Totum caput exscriptum ex Hephaestione, II, 24, cuius verba affero ex cod. P(arisino) 2417. 2-5 e Ptolem. 52v, 17-20 hausit Heph., sequentia omnia ex Dorotheo. 5 σκοπῶν τὰ M. 6 fuitne εἰς τὸ εἶδος? P habet ἐκ τοῦ η' ζωδίου τοῦ εἴδους καὶ τὴν φύσιν αὐτῶν ὁρῶντες. 8 φύσεσιν P] φάνσεσι M. 9 versus integriores in P. Dorotheus haec scripsit:

ἄλλοι δ' ἐκ Μήνης εἰς (ἐκμηνύσεις P) ὄγδοον ὡρονόμοιο (-μιον P)
ζῴον (ζώδιον P) ἀριθμήσαντες ἀπὸ Κρόνου αὖθις ἔδωκαν.
εἰς ὃν δὴ λήξειε τόπον καὶ ἄνακτα τόποιο,
σκέπτονται τούτων ἐπιμάρτυρες οἵτινές εἰσιν.
τῶν (τὸν P) ἄπο δὴ φράσσαντο (φράσαντο P) τέλος αἰσχρόν τε καὶ ἐσθλόν.

Cf. quae in descriptione codicis supra p. 33 ex f. 146 enotata sunt. Methodus similis ei quam commendat Firm. 237, 27 ubi nonnulla adnotavimus.

Anonymi de planetis.

Libellum codicis 6 folia 184-194 implentem ideo edidi, quod maior eius pars cum eis, quae Firmicus tradit libro VI f. 67v*a*-76v*a* (accedunt supplementa codicis Borbonici, de quibus cf. ad p. 170, 5.23), adeo consentit, ut eundem subesse auctorem primo obtutu manifestum sit. Libellus enim hic in duas partes dividitur; quarum priore praeter pauca, quae de septem stellarum natura dicuntur, exponitur de binarum stellarum inter se coniunctionibus, altera (p. 28, v. 16 sqq.) de ternarum. Quodsi priorem contemplemur partem missa interim facientes eas paragraphos, quibus de singulis planetis exponitur, ordo is est, ut primum Saturni, deinde Iovis ceterorumque coniunctiones enumerentur; et Saturnus quidem primum simul positus cum ceteris spectatur, deinde trigona tetragona diametra radiatione cum Iove et reliquis coniunctus; idemque ordo in Iove et ceteris manet. De hexagono schemate in fine pauca quaedam subiunguntur (sed cf. p. 165, 1). Haec capita ex uno fere auctore hausta sunt, qui diserte non nominatur; praeterea pauca fluxerunt e Vettio Valente, cuius nomen praescribitur, sc. nonnulla de binis stellis *simul* positis; sed talia in Saturno tantum et Iove descripsit auctor et semel, ut opinor, in Marte (cf. ad 174, 12), semel in Mercurio (p. 176, 22; cf. etiam 27, v. 5-8); in trigonis tetragonis diametris radiationibus Valens neque memoratur neque adhibetur. Cetera quem ad auctorem redeant, inde concludendum, quod hexametri

Digitized by Google

apparent dictionisque epicae frustula manifestissima (quae diductis litteris distinguenda curavi ita ut certa tantum respicerem); ubicunque enim paraphrasis talis apparet, paene certum est latere aut Dorotheum Sidonium, aut ANUBIONEM. Inter utrumque mente fluctuaremus, nisi haec cum Anubionis paraphrasi, quae infra edetur, ita conspiraret ut omnis de fonte tolleretur dubitatio. Haec vero ipsa, quae ad Anubionem referenda sunt, cum Firmico congruunt, qui diserte testatur se libros eius cognitos habuisse (p. 91, v. 13; 196, v. 21). Et si oleum, quod ex ampulla rhetorica nimium destillavit bonus Firmicus, deterseris, videbis eum usque adeo cum his libelli nostri capitibus conspirare, ut suspicio oboriatur eum eadem paraphrasi usum esse carminis Anubiani, qua huius libelli auctorem; neque enim obstat, quod modo hic modo ille paulo plenior est. Quaeritur autem uter ordinem quem in fonte invenit conservaverit; Firmicus enim ita enumerat, ut primum trigonas tetragonas diametras, deinde pariter positas coniunctiones ponat. Qua in quaestione inde opinor proficiscendum, quod tractatus Marcianus in stellis simul collocatis eodem quo Firmicus utitur ordine et quod omisit Solis et Lunae coniunctionem, Mercurii et Lunae trigonam radiationem (nam quod de Solis cum Venere et Mercurio coniunctionibus omnibus tacet, de consilio videtur fecisse; cf. ad 179, 15); id quod ei facile potuit accidere, dum auctoris sui ordinem immutat. Firmicum igitur potius Anubionis dispositionem referre statuo, ita tamen ut coniunctiones proprias ante radiationes collocatas fuisse posse non negem. — Capita vero ea, quibus de septem stellarum natura exponitur, dictionis epicae vestigium nullum servantia ex VALENTE et PTOLEMAEO consuta sunt; et illius quidem verba conferre non licuisset, quod et in Vaticano et in Seldeniano libro haec capita desunt, nisi felicissimo casu in Marciano 314 a Francisco Cumont inventa essent (cf. supra p. 83 ss.). — Restat praeterea unum partis prioris additamentum, duo geniturarum exempla post caput de Saturno inserta p. 168, 4. 24; quae unde fluxisse possint, in adnotatione significavi. — In alteram vero partem investiganti, qua ternarum stellarum coniunctiones tractantur, non minus prospere cessit res; nam haec omnia e Valente desumpta esse apparuit invento pleniore libri primi contextu, qui inest in cod. Marc. 314 (cf. supra p. 83 sqq.).

De editionis meae ratione unum dico, me terminationes a librario per compendia scriptas ibi tantum uncis rotundis inclusisse, ubi ductus codicis diversum in modum legi poterant. W. K.

F. 184. ξζ'. Περὶ κράσεως καὶ φύσεως τῶν ἀστέρων καὶ τῶν ἀποτελουμένων καὶ σημαινομένων ἐκ τῆς συμπαρουσίας καὶ τοῦ σχηματισμοῦ αὐτῶν.

Περὶ τοῦ Κρόνου.

Τὸν Κρόνον φασὶ μικρολόγον καὶ βασκανίας ποιητήν, τύφου τε καὶ 5
μερίμνας καὶ μονοτροπίας καὶ ὑποκρίσεως, φειδωλίας, αὐστηρίας,

4 quae de singularum stellarum efficacia dicit, cf. cum Iuliano (cod. Flor., p. 134 sqq.) 5 e Valente: cf. supra p. 89, 5 sqq. τύφον M.

Digitized by Google

μελανειμοσύνης, αὐχμηρίας, κακοπαθείας, φυγαδείας, ἐκπτώσεως, στυγνότητος, ἐνδείας, ἀπραξίας, νωχελίας, γονέων ἀλλοτριώσεως, ταπεινότητος, ἀργίας, ῥαθυμίας, βραδύτητος, ἐγκοπῶν πράξεων, ἀποκρυβῆς, συνοχῆς, καταιτιασμῶν, δεσμῶν, ὀρφανίας, ἐκθέσεως, πένθους, χηρείας, ἀτεκνίας. ἔστι δὲ φιλοχρηματίας αἴτιος, βαθυφροσύνης, μονογνωμοσύνης, φθόνου, δειλίας, ἀναχωρήσεως, φιλερημίας, ἀστοργίας, ἀηδίας, ἀνευφρανσίας. ταῦτα δὲ πάντα καθ' ἑαυτὸν ὧν καὶ μὴ σχηματιζόμενος πρός τινα ποιεῖ· ἑτέρῳ γὰρ συσχηματισθεὶς συγκεκραμένα τὰ ἰδιώματα αὐτοῦ ποιεῖ ἔκ τε τῆς αὐτοῦ φύσεως καὶ τοῦ συσχηματιζομένου. καίπερ γὰρ φιλοχρήματος καὶ θησαυριστικὸς ὤν, εἰ τῷ Διὶ συνοικειωθῇ, μεταδοτικὸς γίνεται καὶ εὐπροαίρετος καὶ φιλοίκειος· ἀλλὰ τότε τοιοῦτος γίνεται, ὅταν ἀμφότεροι ἐνδόξως κατὰ τὸ κοσμικὸν ὦσι κείμενοι. πάντα γὰρ τὰ καλὰ καλῶς κειμένων τῶν ἀστέρων γίνεται, ὥσπερ κακῶς κειμένων πάντα τὰ κακά.

Προσώπων δὲ κυριεύει πατρικῶν καὶ πρεσβυτικῶν· οὐσίας δὲ μολίβδου, ξύλων, λίθων. τῶν δὲ τοῦ σώματος μερῶν κατὰ μὲν Πτολεμαῖον ἀκοῆς δεξιᾶς, σπληνός, κύστεως, φλέγματος, ὀστέων καὶ τῶν ἐντὸς ἀποκρύφων· κατὰ δὲ Οὐάλεντα σκελῶν καὶ γονάτων διὰ τὸν Αἰγοκέρωτα καὶ τὸν Ὑδροχόον. σινῶν δὲ <καὶ> παθῶν ποιητικὸς τῶν ἐκ ψύξεως καὶ ὑγρότητος γινομένων, οἷον ὑδρωπικῶν, νευρῶν ἀλγηδόνων, ποδάγρας, βηχός, κήλης, σπασμῶν, δυσπνοίας, μακρονοσίας, φθίσεως, ὑγρῶν, ὀχλήσεως, ῥευματισμῶν, τεταρταϊκῶν ἐπισημασιῶν, φρίκης, κοιλιτικῆς, σπληνῶν, ὑστερικῶν καὶ ὅσα κατὰ πλεονασμὸν τοῦ ψυχροῦ (f. 184ᵛ) συνίστανται. αἴτιος δὲ καὶ ὑποβρυχίων θανάτων καὶ τῶν δι' ἀγχόνης ἢ δεσμῶν καὶ τῶν ἐκ συμπτωμάτων οἰκείων. ἔστι δὲ καὶ χειμόνων καὶ ναυαγίων αἴτιος καὶ ἀπωλείας τῶν καρπῶν τῆς γῆς ἀπὸ ὑδάτων, ὀμβρίων, ἐπικλύσεως ἢ κάμπης ἢ ἀκρίδος ἢ χαλάζης. περὶ δὲ τὴν τοῦ ἀέρος κατάστασιν, ὅταν οἰκοδεσποτήσῃ τῆς προγενομένης συζυγίας, φοβερὰ ψύχη ποιεῖ παγώδη καὶ ὁμιχλώδη καὶ λοιμικά, δυσαερίας τε καὶ συννεφίας καὶ νιφετῶν πλήθη οὐκ ἀγαθῶν, ἀλλὰ φθοροποιῶν.

Μετὰ δὲ Διὸς ὢν ὁ Κρόνος ἀνατολικῶν ἀμφοτέρων ὄντων καὶ προσθετικῶν συμβάλλεται εἰς οἰκονομίας καὶ ἐπιτροπὰς καὶ ἀλλοτρίων ἔργων καὶ κτημάτων ἐμπίστευσιν· ἔσονται δὲ καὶ τιμη(τικοί), τοῦ Ἄρεως μὴ ὁρῶντος.

Οὐάλεντος. Ἡ τοῦ Κρόνου καὶ Διὸς συμπαρουσία τῆς ἐκ θανατι-

1 μελανημοσύνης M et talia saepe (*quae raro adnotabo*). 5-11 ex Ptol. 41ᵛ, 1-12. 10 φιλοχήματος M. 15 de planetarum metallis, cf. Berthelot, *Alchim.*, I, 73; Lobeck, *Aglaoph.*, 936. 16 Ptol. 38ᵛ, 29 qui nil de partibus absconditis. 18-21 e Valente, cf. p. 89, v. 30. 22 φθίσεως-ἐπισημασιῶν ex Ptol. 21ᵛ, 28. 24 sq. e Valente supra p. 89, v. 35. 27-31 ex Ptol. 22ᵛ, 3 sqq. 30 συνεφίας M. 33 προσθετῶν M. Cf. Firm. VI, f. 74ᵛ *b* in diurna genitura dabit ... *procurationis officia. tunc iungunt (?) alienae substantiae potestatem;* sed Marte videntе *totum hoc ..., mutatur.*

Digitized by Google

κῆς προφάσεως ὠφελείας δηλωτικὴ καὶ τῆς ἐκ κτημάτων ἀκινήτων καὶ οἰκονομίας.

Μετὰ Ἄρεως ὢν ὁ Κρόνος περὶ μὲν τὸ σῶμα δεινός, καὶ μάλιστα ὅταν τις αὐτῶν τὴν συναφὴν τῆς Σελήνης ἐπέχῃ ἢ τοῦ ἕκτου ἐστὶ κύριος· κινοῦσι γὰρ χολὰς μελαίνας καὶ νόσους ἐκ ῥιγοπυρετῶν καὶ ἐν ταῖς πράσεσιν οὐκ ἀγαθοί· κωλυτικοὶ γὰρ καὶ ἀστοχίας ἐν τοῖς ἔργοις ποιοῦντες. τόν τε πατρικὸν βίον σκορπίζουσιν διὰ τὸν Κρόνον πατρικὸν πρόσωπον ἐπέχειν· ὥστε καὶ πατρὸς προτελευτὴν σημαίνουσι. τοὺς δὲ προγενεστέρους ἀδελφοὺς ἢ φθείρουσιν ἢ νοσεροὺς ποιοῦσι διὰ τὸ τὸν Ἄρεα προγενεστέρους ἀδελφοὺς σημαίνειν. τῶν γὰρ νεωτέρων ὁ Ἑρμῆς ἐστι κύριος. περὶ δὲ τὰς γνώμας ἀμετάτρεπτοι καὶ μνησίκακοι. χείρονα δὲ τὰ κακὰ ἔσται, εἰ τοῖς κέντροις ἐπίκεινται, ἐπεὶ καὶ πλείονα δύνανται οἱ ἀστέρες κεκεντρωμένοι, εἰ μὴ ἄρ' αἰγίοχος δαμάσει σθένος ὀλοὸν αὐτῶν.

Οὐάλεντος. Ἡ τοῦ Κρόνου καὶ Ἄρεως συμπαρουσία καθαρ... καὶ... ἔχθρας καὶ ἐπιβουλῆς καὶ ἀπροσδοκήτων κινδύνων καὶ κρίσεων καὶ ποικίλων ἐναντιωμάτων, πλὴν εἰ μὴ ὦσιν ἐν οἴκοις ἢ ὁρίοις ἢ ὑπὸ Διὸς ἢ Ἀφροδίτης ὁρῶνται· ὅμως καὶ οὕτως ἀβεβαίως τὰς εὐδαιμονίας καὶ κινδύνους αἰφνιδίους σημαίνουσιν.

Μετὰ δὲ Ἡλίου ὢν ὁ Κρόνος καὶ μάλιστα εἴσω τῆς τριμοιρίας τῷ μὲν πατρὶ κακὸν θάνατον ἐπάγει (ἄμφω γὰρ τὸ πατρικὸν ἐπέχουσι πρόσωπον), τὰ δὲ πατρικὰ κτήματα διαφθείρει, καὶ χεῖρον ἐν νυκτί. εἰ δὲ ἐν ἥττοσι μοίραις ἐστὶν ὁ Ἥλιος, ὁ δὲ Κρόνος ἐν πλείοσι, χαλεπώτερος ὁ τοῦ πατρὸς ἔσται θάνατος καὶ τὰ εἰρημένα πάντα δεινότερα. τοὐναντίον μέντοι περὶ τούτου φησὶν ὁ Πτολεμαῖος· ἐκεῖνος γὰρ τὸν μὲν Ἄρεά φησιν ἐπαναφερόμενον βλάπτειν τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ τὸν Κρόνον, τὸν δὲ Κρόνον καθυπερτεροῦντα τὸν Ἥλιον καὶ τὸν Ἄρεα καθυπερτεροῦντα τὴν Σελήνην. νοσοποιοὶ δέ εἰσιν ἐξ ὀχλήσεως ὑγρῶν καὶ ὀφθαλμιῶν. οἱ δὲ οὕτως ἔχοντες γεωργικὸν βίον φιλοῦσι καὶ τούτῳ μόνῳ εὐτυχοῦσι τἆλλα βαρυδαίμονες ὄντες. εἰ δὲ καὶ ἐν θηλυκῷ ἐστιν ὁ Κρόνος ἢ ὁ Ἥλιος ἐν οἴκῳ Κρόνου καὶ οὕτως σύνεισιν, εὐκλεῆ μὲν τὸν πατέρα, οὐ μέντοι ἀφνειόν.

<Οὐάλεντος. Ἡ συμπαρουσία> τοῦ Κρόνου καὶ Ἡλίου μετὰ φθόνου τὰς κτήσεις καὶ τὰς φιλίας παρέχει καὶ ἀφαιρεῖ καὶ ἔχθρας κρυφίας

5 Cf. Firm. 75ᵛ *a* : *nigri fellis concitatur exitium.* 6 *actus ... impeditur*, Firm., l. c. 7 nempe διὰ<τὸ>τὸν. 8 Firm. *cita mors opprimit patrem ... paterna etiam substantia ... dissipatur.* προτελευτὰ M. 9 *fratribus* (imprimis natu maioribus) ... *malum semper praeparatur exitium*, Firm. 11 *mores hominum perfecta gravitatis ornamenta percipiunt.* Firm. 12-14 plane eadem Firm. 14 δαμάσῃ et οὐλοὸν fuit in versu. 15 καθαρε καὶ εἶν M, non extrico. Fort. καθαιρετικὴ καὶ αἴτιος. 16 ἐπιβουλὰς M. 17 ὁρίοις] ζωδίοις M. 18 nempe ἀβεβαίους. 20-24 haec ad unum omnia etiam apud Firm. 25 Ptol. 33ᵛ, 15. ἐπαναφέρεται is qui post alterum oritur, καθυπερτερεῖ qui maiorem partium numerum obtinet (cf. e. g. 170, 34). 28-32 eadem Firm. 75ᵛ *b*. 30 θηλυκῷ] scr. : Ἡλίου οἴκῳ ex Firm. 33 Οὐάλεντος. Ἡ συμπαρουσία suppl.

Digitized by Google

ἐκ μεγάλων προσώπων ἐπάγει καὶ ἀπειλάς, ἐπιβουλάς τε καὶ τὸν βίον ἐπίφθονον· πλὴν ὑποκρίσει τῶν πλείστων περιγίνεται. οὐκ ἄπορος δέ, ἐπιτάραχος <δὲ> (f. 185) καὶ ἀνεξίκακος καὶ ἐγκρατὴς τῆς περὶ τῶν αἰτιῶν διαγωγῆς.

Σὺν δὲ τῇ Ἀφροδίτῃ ὧν ὁ Κρόνος ἀνάξια λέκτρα γυναικῶν δίδωσι, διότι ἡ Ἀφροδίτη τὰ τοῦ γάμου δηλοῦσα ἀκάθαρτα ἀστέρι σύνεστιν καὶ μωμητῷ καὶ σινοποιῷ. ὅθεν ὡς ἐπίπαν στείραις συζεύγνυνται ἢ σεσινωμένοις προσώποις ἐπιψόγοις ἢ δούλοις· ἔνθεν καὶ ἀτεκνία ἔσται καὶ σπανοτεκνία ἢ βραδυτεκνία πρὸς τὴν τοῦ Κρόνου κρᾶσιν, τά τε τῶν γάμων ψυχικὰ καὶ ἄστατα.

Οὐάλεντος. Ὁ τοῦ Κρόνου καὶ Ἀφροδίτης εὐεπίβουλ(ος) περὶ τὰς ἐπιπλοκὰς καὶ συναρμογὰς καὶ ἐν ταῖς γυναιξὶ συμπαθὴς καὶ ὠφέλιμος, πλὴν οὐ μέχρι τέλους ἀλλ' ἄχρι τινὰ χρόνον διὰ τὸ παραιρέτας εἶναι ἀλλήλων τάχα. ἀποτελεῖ δὲ ψόγους θανάτους χωρισμοὺς ἀστασίας.

Σὺν δὲ Ἑρμῇ ὧν ὁ Κρόνος ψεύδους αἴτιος καὶ ἐνέδρας καὶ δολιότητος. οἱ τοιοῦτοι, φησίν, οὐδ' ὅταν ἀληθῆ λέγωσι πιστεύονται· ὁ μὲν γὰρ Ἑρμῆς λόγου δεσπόζει, ὁ δὲ Κρόνος ὑποκρίσεως καὶ ἀπάτης. οἱ τοιοῦτοι δὲ καὶ δυσεπίτευκτοι· τὸν γὰρ Κρόνον πρὸς τὰς πράξεις ἀποδοκιμάζουσι· βαθυπόνηροι δὲ καὶ περίεργοι ἔσονται.

Οὐάλεντος. Ὁ δὲ τοῦ Κρόνου καὶ Ἑρμοῦ πρακτικοὶ μέν, ἀλλὰ διαβολὰς ἐπάγουσι διὰ μυστ(ικῶν) καὶ κρίσεις καὶ χρέη καὶ ταραχὰς διὰ γραπτῶν ἢ δοσοληψίας· οὐ μέντοι ἀσυνέτους οὐδ' ἀπράκτους ποιεῖ.

Σὺν δὲ τῇ Σελήνῃ ὁ Κρόνος νοσοποιός· τοῦ γὰρ σώματος ἡ Σελήνη δεσπόζει. ἐπεὶ δὲ καὶ μητέρα δηλοῖ, ὀλεθρευτικὸς ἔσται μητρικῶν προσώπων καὶ βίου μητρικοῦ. αἱ δὲ πράξεις ἀδρανεῖς ἔσονται, διότι καὶ αὐτὴ πάσης πράξεως κυριεύει. καὶ ταῦτα μὲν ἐν νυκτί· οἱ γὰρ κακοποιοὶ βλάπτοντες χεῖρον βλάπτουσιν, ἡνίκα καὶ παρ' αἵρεσιν εἶεν· ὥστε ἐν νυκτὶ εἴτε αὐξιφωτεῖ εἴτε λειψιφωτεῖ ὑπὸ τοῦ Κρόνου βλαπτομένη, κἂν οἱ δύο ἀγαθοποιοὶ μαρτυρῶσιν, οὐ μετατρέψουσι τὰ κακά. ἐν δὲ ἡμέρᾳ αὐξιφωτούσης αὐτῆς καὶ τῶν ἀγαθοποιῶν ὁρώντων κύλυσις ἔσται τῶν κακῶν.

Οὐάλεντος. [Ἡ τοῦ] ♃ καὶ ☾ συμπαρόντες τῆς ἐκ κτημάτων καὶ θεμελίων καὶ θανατικῶν καὶ ναυκληρίας εὐεργεσίας ποιηταὶ καὶ μᾶλλον ἐν πανσελήνῳ.

Ἐν δὲ τοῖς σχηματισμοῖς τρίγωνος μὲν ὁ Κρόνος πρὸς Δία πολυκτη-

2 παραγίνεται M. 3 nonne τῆς παρὰ γυναικῶν διαγωγῆς? sc. ad venerias cupiditates non pronus. 5 *indignarum mulierum nuptias decernit*, Firm., apud quem etiam cetera omnia. 8 fort. σεσινωμέναις, προσώποις. 9 πανοτεκνία ἢ κραδυτεκνία M. 10 nempe ψυκτικὰ sive ψυχρά (*erunt frigidi semper ad Venerem*, Firm.). 11 εὐεπίβολος Valens. 13 τινὸς χρόνου scripsit Valens, si scripsit: ἐπί τινας χρόνους habet Marc. 314. 15-19 eadem fere Firm. 19 περίεργοι] *ingenium ... eorum multis disciplinarum studiis imbuetur*, Firm. 22 noli δωροληψίας cl. 178, 14. 25 sq. καὶ αὐτὴ suspectum. 30 *prohibetur improbitas*, Firm. 35-164, 16 simillima Firm. 67ᵛ*b*.

Digitized by Google

μοσύνης ποιηταὶ γῆς σπορίμης καὶ ἀμπελοφύτων καὶ θεμελίων καὶ οἴκων (τούτων γὰρ ὁ Κρόνος δεσπόζει), ἐπιτροπῆς δὲ καὶ κληρονομίας· ὡς ἐπίπαν γὰρ ἡ συμπαρουσία καὶ ὁ τρίγωνος σχηματισμὸς τῶν αὐτῶν ἐστιν ποιητικός. συγκρινόμενος δὲ τούτοις καὶ ὁ Ἑρμῆς πολιτικὰς ἀρχὰς δίδωσι διὰ τὸ κοινωνικὸν ἢ μυστικοὺς ποιήσει. ἐν τροπικοῖς δὲ 5 μάλιστα ἔσονται αἱ πολιτικαὶ ἀρχαί. τότε γὰρ συντρέχει τῇ φύσει τοῦ ἀστέρος καὶ τὸ ζῴδιον, ἐπεὶ καὶ πολιτικά φαμεν τὰ τροπικά. ἢ φορολόγοι βασιλέων γίνονται, ὅταν μεσουρανῇ ὁ Ἑρμῆς ὢν τρίγωνος τοῦ Κρόνου καὶ Διός· ἔοικε γὰρ τὸ μεσουράνημα ἀναλογεῖν τῷ βασιλικῷ προσώπῳ. ἐγὼ δέ φημι, καὶ ὅταν ὁ Ἥλιος ὁρᾷ, ἄλλοι πρέσβεις καὶ 10 ὑπὲρ πατρίδος στέλλονται, πολλάκις δὲ καὶ ἀλλότρια τέκνα ἀνατρέφουσι. τούτων δ' οὕτως ἐχόντων ἤτοι τοῦ Κρόνου καὶ Διὸς καὶ Ἑρμοῦ, εἰ ὁ Ἄρης ἴδῃ τετράγωνος ἢ διάμετρος, βασκανίας ἐγείρει καὶ διαβολὰς καὶ ζημίας, διότι τῷ λογικῷ τοῦ Ἑρμοῦ καὶ τῷ οἰκονομικῷ καὶ τῷ τιμητικῷ τοῦ Κρόνου καὶ Διὸς ἀντιτάττεται τὸ θυμικόν <τε> καὶ τυραν- 15 νικόν.

Τετράγωνος δὲ ὢν ὁ Ζεὺς τῷ Κρόνῳ, εἰ μὲν ὁ Κρόνος καθυπερτερεῖ (f. 185ᵛ) ἤτοι δεξιός ἐστιν, ἐλαττοῦται τὰ κτήματα· ἐπικρατέστερος γὰρ εὑρίσκεται ὁ κακοποιὸς διὰ τὴν καθυπερτέρησιν· ὅθεν καὶ ὀγκωτικός ἐστιν τῶν πραγμάτων καὶ ἐναντιοβουλίας ποιεῖ· καὶ τὸν πατέρα δὲ 20 κακοῖ καὶ τὰ πατρικὰ φθείρει· καὶ ἐν ἀμφοτέροις μὲν τοῖς τετραγώνοις, χεῖρον δὲ τοῦ Κρόνου καθυπερτεροῦντος. εἰ δὲ ὁ τοῦ Διὸς τὸν Κρόνον καθυπερτερεῖ, ἥττων ἡ κάκωσις· † ἴσα γάρ τινα τῷ πατρὶ εὔκλειαν καὶ τῷ παιδὶ τοῦ χρόνου προϊόντος βίου προκοπὴν μερικήν.

Διαμέτρ(ως) δὲ ὁρῶν τὸν Δία ὁ Κρόνος βλαβερὸς μὲν περὶ τὰς 25 πράξεις, λυπεῖ δὲ τοὺς γονεῖς ἐπὶ τέκνα. καὶ εἰ μὲν ὁ Κρόνος ὡροσκοπεῖ, ὁ δὲ Ζεὺς δύνει, τὰ μὲν πρῶτα τοῦ βίου δυστυχῆ, τὰ δὲ ἔσχατα εὐτυχῆ· εἰ δ' ὁ μὲν Ζεὺς ὡροσκοπεῖ, ὁ δὲ Κρόνος δύνει, τὰ πρῶτα εὐτυχῆ καὶ τὰ ἔσχατα ἀτυχῆ· ἔοικε γὰρ τὰς μὲν ἀρχὰς τοῦ βίου ὁ ὡροσκόπος σημαίνειν, τὰ δὲ μέσα τὸ μεσουράνημα, τὰ δὲ τελευταῖα τὸ 30 δῦνον. ἐκ δὲ τούτων ἐστὶ δῆλον, ὅτι οἱ ἀγαθοποιοὶ ἐν τοῖς τριγώνοις καὶ ἑξαγώνοις καὶ ταῖς συμπαρουσίαις ἥττον βλάπτονται ὑπὸ τῶν κακοποιῶν, ἐν δὲ τοῖς τετραγώνοις καὶ διαμέτροις κατ' ἐπίτασιν.

1 nonne ποιηταί, γῆς ... ἐπιτροπῆς τε καὶ ... nempe σπορίμου. 3 ὡς ἐπιπάντων γὰρ M. 5 de tropicis signis et MC et Sole nil Firm., sed tamen : *munus praeclarae legationis inponunt, sed amittentes filios ... aut alienam sobolem nutrire coguntur aut...* 8 τοῦ] dativus frequentior. 10 an πρεσβευταὶ ὑπὲρ? 15 τὲ ut vid. cum charta interiit. 17 in stellis ex quadrato (ex trigono 174, 27) se videntibus ἐπιδεκατεία καὶ καθυπερτέρησίς est, ὅταν ἐν δεξιῷ τόπῳ ὑπάρχων τις τὸν ἐν τῷ ἀριστερῷ τριγώνῳ ἢ τετραγώνῳ ἢ ἑξαγώνῳ ἐπιθεωρῇ (*Catal. cod. Flor.*, 157, 5). Cf. supra ad p. 162, 25, infra 168, 8. ἐπικεῖθαι dicit 172, 29. 19 sententiae satis facit ἐγκοπτικός (*actus impediunt* Firm., apud quem eadem omnia). 23 an δίδωσι? 25-28 eadem Firm., 72ᵛ *a.* 26 ἐπὶ] an περὶ? (*ex casu filiorum acerba doloris tormenta ... indicit*, Firm.). 28 εὐτυχῆ] δυστυχῆ M.

Digitized by Google

Ἑξάγωνος δὲ ὢν ὁ Ζεὺς τῷ Κρόνῳ τὰ ὅμοια τῷ τριγώνῳ σχήματι δηλοῦται, ἀδρανέστερος δὲ ὅμως.

Πρὸς δὲ τὸν Ἄρεα τρίγωνος μὲν ὢν ὁ Κρόνος εὐπορίας καὶ εὐπραγίας καὶ ἀρχῆς ποιητικός. τὰ γὰρ τρίγωνα καὶ ἑξάγωνα τῶν σχημάτων τῶν μὲν ἀγαθοποιῶν τὴν δύναμιν ἐπιτείνουσι, τῶν δὲ φθοροποιῶν τὴν κακίαν ἀμβλύνουσιν. ὅθεν, κἂν ὁ Ζεὺς μὴ ὁρᾷ, εὐπραγοῦσι· πλὴν πρεσβυτέρων ἀδελφῶν ὁρῶσι τελευτὴν διὰ τὸ τὸν Ἄρεα ἀδελφοὺς δηλοῦντα βλάπτεσθαι ὑπὸ Κρόνου· εἰ δὲ καὶ ὁ Ἑρμῆς μαρτυρεῖ, καὶ νεωτέρων ἀδελφῶν θάνατον ὄψονται.

Τετράγωνος δὲ ὢν ὁ Ἄρης τῷ Κρόνῳ τοῦ Κρόνου καθυπερτεροῦντος τῷ τε σώματι φρικαλέους ποιεῖ καὶ πυρέττοντας καὶ πυκνῶς νοσοῦντας, ἀπράκτους δέ, καὶ τὰ πατρικὰ κτήματα ἀφανίζει· θάπτουσι δὲ καὶ τὰς ἑαυτῶν γυναῖκας. τοῦ δὲ Ἄρεως τὸν Κρόνον καθυπερτεροῦντος πρὸ τῆς μητρὸς τελευτᾷ ὁ πατήρ. περὶ δὲ τὰς βιωτικὰς πράξεις ἐνεργές ἐστιν τὸ τοιοῦτον σχῆμα· τὰ μέντοι πατρικὰ κτήματα καὶ οὕτως ὄλλυνται· οἱ τοιοῦτοι δὲ καὶ ἐξ οἰκείων φθονοῦνται.

Διάμετρος δὲ ὢν ὁ Κρόνος τῷ Ἄρει ἐναντιοῖ εἰς περίκτησιν βίου. δηλοῖ δὲ τὸ σχῆμα φθόνους καὶ ἐνδείας καὶ σωματικὰς κακώσεις καὶ κινδύνους ζωῆς καὶ ἀτεκνίαν ἔχθραν οἰκείων στάσιν ταχυθανασίαν πατρὸς ἐκ πόνων πόνους ἤτοι ἐκ μόχθων μόχθους· ἐν δὲ ὑγροῖς ζῳδίοις ναυάγια καὶ ἐκ ποταμῶν κινδύνους ἢ ἐκ ῥεύματος· ἐν δὲ θηριώδεσιν ἐκ θηρίων ἢ φαρμακοποσίας βλάβην καὶ κίνδυνον· ἐν δὲ τετραπόδοις ἐκ τῶν ὁμοίων πτώσεις. καὶ χεῖρον ὅταν τῆς Σελήνης οἰκοδεσπόται ὦσι καὶ ἐν μὲν τοῖς κέντροις θανατοῦσιν, ἐν δὲ ταῖς ἐπαναφοραῖς τῶν ἀγαθῶν ἐλπίδων ἀποστεροῦσι καὶ περί μέσους χρόνους καθαίρεσιν ἐπάγουσιν· ἐν δὲ τοῖς ἀποκλίμασιν ἧττον μὲν βλάπτουσι, λύπας δὲ ὅμως καὶ ἐκπτώσεις ἐπάγουσι· τινὰς δὲ καὶ ξενιτεύοντας ποιοῦσιν ἢ δούλους ἐλευθέρους ἐπίκεντροι ὄντες ἐν τοῖς διαμέτροις σχήμασι· μεγάλων γὰρ κινδύνων εἰσὶ παραίτιοι ἀλλήλους διαμετροῦντες· ἀμφότεροι γὰρ κακοποιοὶ ὄντες ἐπιτείνουσι τὴν κακίαν ἐκ τοῦ τοιούτου σχήματος.

Τρίγωνος δὲ ὢν ὁ Κρόνος πρὸς Ἥλιον συμβάλλεται εἰς βίου προκοπὴν καὶ κλέος καὶ ἐπισήμους ἀρχὰς καὶ μάλιστα ἐν ἀρρενικοῖς ζῳδίοις καὶ ἐν ἡμέρᾳ· τὰ γὰρ ἀρρενικὰ τῶν ζῳδίων ἐπιτακτικὰ καὶ δρασματικά, ὥσπερ τὰ θηλυκὰ ἀδρανέστερα καὶ ὑποτακτικά. καὶ τοῦ πατρὸς δὲ ὁ βίος ἔνδοξος. ἐν δὲ νυκτὶ εὐπορία μὲν καὶ οὕτως ἔσται, πλὴν οὐ φυλάττονται τὰ πατρικὰ κτήματα εἰς τέλος, ὡς πάντων τῶν παρ' αἵρεσιν ἀστέρων ἀβεβαίων ὄντων καὶ καταλύσεις ἐπαγόντων.

1 Cf. infra 180, 4. 3-9 Congrua habet Firm. 68ᵛ *a* (apud quem tamen Iovis Mercuriique testimonium accedere debet, cf. l. 6). 10-16 plane eadem Firm. 69ᵛ *b*, ubi tamen pro uxoribus fratres sepeliunt. 14 ἐνεργείας M. 17-28 eadem praebet Firm. 72ᵛ *a*. 19 ἀτεχνίαν M. 20 *ex laboribus labores assidua continuatione perpetuat*, Firm. 23 πτώσεις, cf. 173, 28. 24 epanaphorae sunt alter quintus octavus undecimus, ἀποκλίματα tertius sextus nonus duodecimus locus. 31-37 consentit Firm. 68ᵛ *a*. 37 sc. et Sol et Saturnus diem praeferunt nocti; ea enim est αἵρεσις; (cf. supra, p. 163, 27.)

Digitized by Google

Τετράγωνος δὲ ὢν ὁ Κρόνος πρὸς Ἥλιον τοῦ Κρόνου καθυπερτεροῦντος περὶ τὸν πατέρα ἔκπτωσις βίου ἔσται ἢ σπασμός, προτελευτὴ δὲ καὶ πρὸ τῆς μητρός· περὶ δὲ τὴν γέννησιν ἤτοι τὸν τεχθέντα σφάλματα ἐν τῷ βίῳ καὶ ὕβρεις παρὰ πολλῶν. τῷ δὲ σώματι νόσους ἐπάγει ἐκ φρίκης καὶ πυρετοὺς διὰ τὴν σύγκρασιν τοῦ Ἡλίου, ἐξαιρέτως δὲ καὶ ἐκ φρίκης. περικόπτονται δὲ καὶ ἐν αἷς ἐπιβάλλονται πράξεσι. τοῦ δὲ Ἡλίου τὸν Κρόνον καθυπερτεροῦντος τὰ πατρικὰ σκεδάννυται καὶ ἐχθροὶ πρὸς τοὺς οἰκείους ἔσονται· αἱ δὲ τοῦ νοῦ ὁρμαὶ καὶ αἱ πράξεις ἀμαυροῦνται καὶ αἱ βουλαὶ ἐκκόπτονται, νόσοι δὲ ἄλλοτε ἄλλαι καὶ κακοπάθειαι σωματικαὶ ἐν τῇ πρώτῃ ἡλικίᾳ καὶ βίος οὐκ ἐπίσημος ἐν τῇ πατρίδι.

Διάμετρος δὲ ὢν ὁ Κρόνος τῷ Ἡλίῳ τοῦ Διὸς μὴ ὁρῶντος καματηρὸς ὁ πατὴρ καὶ φειδωλὸς ἢ ἐπισινής· ἔστι δὲ καὶ δαπανηρὸς περὶ τὴν περιουσίαν αὐτοῦ καὶ ἀφανιστικός, ὃς καὶ τὰ καταλειφθέντα καὶ αὐτὰ ἀπόλλυσιν, ἢ καὶ κακοθάνατος ἔσται. τῷ δὲ παιδὶ μόχθον διηνεκῆ, καὶ μᾶλλον ἐν θηλυκῷ ζῳδίῳ.

Τρίγωνος δὲ ὢν ὁ Κρόνος πρὸς Ἀφροδίτην εὐσταθεῖς μὲν καὶ σεμνοὺς καὶ περιβλεπτικοὺς ποιεῖ καὶ ἐκ χειρόνων βλαπτομένους, πλὴν οὐ ταχυτάμους.

Τετράγωνος δὲ τοῦ Κρόνου καθυπερτεροῦντος βίου ἐκπτώσεις βλάβας καὶ λύπας ἐκ θηλυκῶν προσώπων. οἱ τοιοῦτοι καὶ χαρίτων ἄμοιροι καὶ ἀτυχεῖς ἐν ταῖς πράξεσι. τῆς δὲ Ἀφροδίτης τὸν Κρόνον καθυπερτερούσης αἱ μὲν γυναῖκες, ἃς λήψονται, ἄψεκτοι ἔσονται, αὐστηρὸν δὲ καὶ ἀρχικὸν ἧττον ἔχουσαι, στέργουσαι δὲ τὰ περὶ τὸν ἄνδρα καὶ εὔνοιαν διασώζουσαι περὶ αὐτόν. κρυφίως δὲ τὸν † πόθ(ον) ἐπαλλήλοις ἔσονται.

Διάμετρος δὲ ὢν ὁ Κρόνος τῇ Ἀφροδίτῃ τοὺς μὲν πορνικοὺς καὶ ἀσχήμονας, τοὺς δὲ ἀγυναίους ἢ κοινὰς καὶ ὑβρισμένας γαμοῦντας ἢ σεσινωμένας ἢ δούλας· οἱ δὲ καὶ χαρίτων ἄμοιροι.

Κρόνος τῷ Ἑρμῇ τρίγωνος ὢν [ὁ ℣] νοήμονας ποιήσει καὶ συνετούς, στερεοὺς τὸν λογισμὸν καὶ παγίους· αἱ δὲ πράξεις ἐκ λόγων ἢ γραμμάτων ἢ ψήφων ἢ ἐμπορίας, ἀφ' ὧν αὐτάρκης ἔσται καὶ ἱκανὸς ὁ βίος.

Τετράγωνος δὲ καθυπερτερῶν τὸν Ἑρμῆν κατ' ἐξοχὴν ἐναντίος τὰς μὲν βουλὰς ἐκκόπτει, ψύξεις δὲ † τὰς πράξεις ἐπάγει· αὐτοὺς δ'

1-11 paene ad verbum congruit Firm. 69ᵛ*b*. 12-16 = Firm. 73ʳ*a*. 14 ὃς] ὡς M. καὶ αὐτὰ] an κτήματα? (*si aliqua habuerit subsidia facultatum, ipsis adhuc superstitibus pereunt aut post mortem eorum miseris lacerationibus dissipantur*, Firm.). 15 μόχθω M. 17-19 eadem pluribus verbis Firm. 68ʳ*b*. 20-26 = Firm. 69ᵛ*a*. 24 ἧττον] scr. ἦθος, cl. Firm. : *sed quae sibi in domo omnem dominandi vindicent potestatem.* 25 *qui amorem suum ambo cum quadam conentur dissimulatione celare*, Firm. 27-29 apud Firm. 73ʳ*a*. 30-33 Firm. 68ʳ*b*. νοήμους M. 32 ἀφ' ὧν] ἀφώνως M. 33-167, 4 = Firm. 69ᵛ*b*. 34 scr. ταῖς πράξεσιν potius quam <ἐπὶ> τὰς πράξεις.

Digitized by Google

ἑτέροις προσώποις ὑποτεταγμένους, βασκάνους δὲ σημαίνει. καί τινες τραυλοὶ ἔσονται ἢ μογιλάλοι καὶ ψελλίζοντες ἢ βρυχιῶντες ἢ κωφοί. τοῦ δὲ Ἑρμοῦ τὸν Κρόνον καθυπερτεροῦντος οὐκ ἀγαθὸν μὲν τὸ σχῆμα· ὅμως ἥττων ἡ κάκωσις.

Διάμετρος ὢν ὁ Κρόνος τοῦ Ἑρμοῦ βραδυγλώσσους καὶ δυσέκφορον τὴν λαλιὰν ἔχοντας ἢ τραυλούς, καὶ μάλιστα τοῦ Ἑρμοῦ ὑπαύγου ὄντος ἢ ἐν ἀφώνῳ ζῳδίῳ· καὶ μάλιστα χεῖρον, εἰ πρὸς τούτοις καὶ ἡ Σελήνη σύνεστι τῷ Ἑρμῇ ἢ τῷ Κρόνῳ. οὐ πάντως δὲ ἐν ἅπασιν ἰσχύσει τὸ σχῆμα ἀφωνίαν ἢ δυσφωνίαν ποιῆσαι· τότε γὰρ τοῦτο ἔσται, ὅταν κύριός ἐστιν ὁ Ἑρμῆς τοῦ σινωτικοῦ τόπου καὶ ἔστι τοῦ Κρόνου διάμετρος· τῆς γὰρ λαλιᾶς δεσπόζων εἰκότως τὰ εἰρημένα ποιεῖ ὑπὸ τοῦ Κρόνου βλαπτόμενος. τοῦ μέντοι Ἄρεως ὁρῶντος ἀναλύεται ἡ κάκωσις, μοχθηροὶ δὲ ἔσονται καὶ συνετοὶ μὲν καὶ ἐπιστήμονες, οὐκ ἐκ ταύτης δὲ τῆς αἰτίας ὠφελούμενοι ἢ ἐπικτώμενοί τι, στυγνοὶ δὲ ἀεὶ καὶ τυφώδεις. ὡς τὰ πολλὰ δὲ καὶ πρεσβύτεροί εἰσι τῶν ἀδελφῶν· εἰ δέ τινες προτεχθήσονται, τεθνήξονται· καὶ ὁ πατὴρ δὲ πρὸ τῆς μητρὸς τελευτᾷ.

Τὸ δὲ τρίγωνον Κρόνου καὶ Σελήνης ἀσυστα(σίαν) δίδωσι καὶ γνωρίμους βασιλέων ποιεῖ καὶ ἐνδόξους, εἴ γε μάλιστα αὐξιφωτεῖ ἡ Σελήνη· εἰ δὲ λειψιφωτεῖ, μετριότερα ἔσται τὰ εἰρημένα.

Τὸ δὲ τετράγωνον τοῦ Κρόνου καθυπερτεροῦντος ἡ μὲν μήτηρ κακοθάνατος, περὶ δὲ τὸν τεχθέντα πυκναὶ νόσοι καὶ μάλιστα ἐκ ῥευμάτων, ἐξαιρέτως εἰ ἐν θηλυκῷ ζῳδίῳ ὁ Κρόνος ἐστίν. εἰ δὲ ἄλλως εἴμαρται καὶ γάμος τῇ γενέσει, οὐκ εὐνοϊκῶς ἕξει πρὸς τοῦτον ἡ γυνή· σφαλερὸν τὸ σχῆμα περὶ τὰ τέκνα· εἰ δὲ ἡ Σελήνη δεκατεύει τὸν Κρόνον, τὰ μητρικὰ κτήματα ἀφανίζει καὶ ῥεύματα κινεῖ καὶ οἱ παῖδες ἐχθροὶ ταῖς μητράσιν ἔσονται. καὶ ἀπραξίας αἴτιον τὸ σχῆμα.

Τὸ δὲ διάμετρον Κρόνου καὶ Σελήνης τὴν μητρικὴν περιουσίαν ὄλλυσι καὶ αὐτῇ δὲ τῇ μητρὶ κρυπτοὺς πόνους δίδωσιν, ἢ δύστροπος ἔσται καὶ λυπρά. εἰ δὲ μὴ ἀγαθοποιὸς ἴδῃ, δεινὸν τὸ σχῆμα περὶ τὰ σωματικά· κίνδυνον γὰρ σημαίνει κατὰ τὴν τῶν ζῳδίων φύσιν· εἰ μὲν ἐν τετραπόδοις, ἐκ τετραπόδων, εἰ δὲ ἐν θηριώδεσιν, ἐκ τῶν ὁμοίων· εἰ δὲ ἐν καθύγροις, ἐκ τῶν ὑδάτων καὶ κακοχυμίας. εἰ δὲ μὴ παρῇ βοήθεια, καὶ σίνεται· ὧν μὲν γὰρ οἱ ὀφθαλμοὶ ἠμαύρωνται, ὧν δὲ τὰ μέλη κλῶνται· ἔνιοι δὲ τῆς πατρίδος ἐξελαύνονται, ἐπεὶ ἡ Σελήνη καὶ πατρίδα δηλοῖ.

1 in versu fuit ἑτέροισι. *sed ipsis semper maximas invidiae tempestates indicit*, Firm. (legitne βασκανίας ?). 2 μογγιλάλοι M. 5-17 = Firm. 73ᵛ*a*. 10 aut occasum dicit (Ptol. 38ᵛ, 13) aut κλῆρον τοῦ σίνους (Firm., VI, f. 84ᵛ*a*; cod. Flor., p. 169, 17). 16 *sed et matres in prima perimit aetate*, Firm. 18-20 Cf. Firm. 68ᵛ*b*. 21-27 = Firm. 70ᵛ*b* qui καθυπερτερίας confudisse videtur. 22 νόσοι] σόσου aut sim. M. 23 ἄλλως] *sicut aliarum stellarum praesidio nuptiae decretae fuerint*, Firm. ἡμαρται M. 28-36 Firm. 73ᵛ*b*. 34 σίνεται] γίνεται M.

Digitized by Google

Ἰστέον δὲ ὅτι τὰ τοιαῦτα ἀποτελέσματα οἷον τὰ ἐκ τῶν σωματικῶν κολλήσεων καὶ τὰ ἐκ τῶν πρὸς ἀλλήλους σχηματισμῶν ἐν ἐκείνοις μάλιστα τοῖς καιροῖς ἀποτελοῦνται, ἐν οἷς αἱ ἀναφοραὶ τούτων ἢ αἱ περίοδοι ἢ καθ' ἑαυτὰς ἢ μετ' ἀλλήλων πληροῦνται. οἷον ἔστω γένεσις κλίματ(ι) β'. Ἥλιος Ταύρῳ, ὡροσκόπος Τοξευτῇ, Σελήνη Καρκίνῳ, Κρόνος Λέοντι, Ζεὺς Αἰγοκέρωτι, Ἄρης Ἀφροδίτη Σκορπίῳ. τῷ οὖν τριακοστῷ τετάρτῳ ἔτει γυναικὸς ἐγένετο θάνατος· τὸ γὰρ τετράγωνον Κρόνου καὶ Ἀφροδίτης τοῦ Κρόνου καθυπερτεροῦντος ὡς νῦν ἐκ γυναικῶν ἐπάγει βλάβας καὶ λύπας. ὁ δὲ καιρὸς εὔλογος· τοῦ γὰρ Λέοντος ιθ' ἐν ᾧ Κρόνος, τοῦ δὲ Σκορπίου ὅπου Ἀφροδίτη ιε'· ὁμοῦ ἔτη λδ'. ἐκ γὰρ τῶν κυρίων ἀστέρων τοῦ Λέοντος καὶ τοῦ Σκορπίου ἐλήφθησαν αἱ περίοδοι. ὅτε δὲ ἐκ τῶν ἀναφορῶν, τῷ [δὲ] λς' ἔτει κατηγορηθεὶς ὡς ἐπιβουλευθείσης ὑπ' αὐτοῦ τῆς γυναικὸς ἔμελλε κινδυνεύειν καὶ ἐφυγαδεύθη· ὁ γὰρ Κρόνος καθυπερτερῶν τὴν Ἀφροδίτην καὶ ἐκπτώσεις ποιεῖ καὶ πένθη διὰ θηλυκῶν προσώπων. ἐδήλου δὲ τὸν καιρὸν ὁ ἀναφο(ρικὸς) τοῦ Λέοντος, ἐν ᾧ ὁ Κρόνος· καὶ γὰρ καθ' ἑαυτοὺς οἱ ἀστέρες τὸν ἀποτελεσματικὸν δηλοῦσι καιρὸν καὶ συγκρατικῶς. διὰ μὲν οὖν τὸ τετράγωνον τοῦ Κρόνου πρὸς Ἀφροδίτην ἔμελλεν κινδυνεύειν, ἡ δὲ αἰτία ἐκ τοῦ πρὸς Ἀφροδίτην σχήματος· ἀλλ' ἐπεὶ καὶ ὁ Ζεὺς ἑώρα τὴν Ἀφροδίτην, ἔμελλε διεκφυγεῖν τὸν κίνδυνον· καὶ γὰρ καὶ ἡ Ἀφροδίτη ἐν Σκορπίῳ τὰ λς' ἔτη ἐδήλου. τῷ δὲ λζ' ἔτει καὶ μείζονος φιλανθρωπίας ἀπέλαυσε διὰ τὸ διάμετρον Σελήνης καὶ Διός· Σελήνη κε' καὶ Ζεὺς ιβ', ὁμοῦ λζ'.

Καὶ πάλιν· Ἥλιος Ἄρης Ἀφροδίτη Τοξευτῇ, Σελήνη Ζυγῷ, Κρόνος Ὑδροχόῳ (?), Ζεὺς Παρθένῳ, Ἑρμῆς Σκορπίῳ, ὡροσκόπος Αἰγοκέρωτι. τῷ ιθ' ἔτει ἐβιοθανάτησεν ὁ πατήρ· ἐχρημάτισε γὰρ ἐν τοιούτῳ ἀποτελέσματι ἡ περίοδος Ἡλίου διὰ τὸ συνιέναι τῷ Ἄρει· Ἄρης γὰρ σὺν Ἡλίῳ κακοθάνατον τὸν πατέρα δηλοῖ. αὐτοὶ δὲ τοὺς ὀφθαλμοὺς βλάπτονται καὶ κινδύνους ὑφίστανται. ἃ πάντα ἐγένοντο· ὁ μὲν γὰρ πατὴρ τῷ ιθ' ἔτει βιαίως ἐτελεύτησε, αὐτὸς δὲ τοὺς ὀφθαλμοὺς ἐπηρώθη καὶ ξενιτεύσας κίνδυνον κατὰ θαλάσσης ἔσχεν. ἐν γὰρ Τοξευτῇ ἡ Ἀργὼ τὸ πλοῖον. εἴρηται δὲ ὅτι εἰ καὶ ἀνὰ δύο κεῖνται οἱ ἀστέρες ὁμοῦ (f. 187) ἢ κατὰ σχῆμα ὁρῶσιν, ἀλλ' οὖν ἡ ἑκάστου περίοδος ἢ ἀναφορὰ καὶ κατὰ μόνας ἐνεργήσει καὶ μετὰ [τὴν] τοῦ ἐπικειμένου ἢ

1 Sequentia genituarum exempla, quorum alterum huic loco aptum non est, quoniam nullius in eo Saturnus est momenti, ex libro desumpta puto qualis fuit Antigoni Nicaeensis geniturarum collectio (*Philol.*, N. F., XI, 125). 2 τά] τῶν M. 10 ᾧ] τῷ M. sc. Leonis et Scorpii domini sunt Sol et Mars, quorum periodi minimae XIX et XV sunt annorum (cf. Firm. 74, 6 sqq.; cod. Flor. 162, 32); cf. etiam l. 16, 21. 13 ὑποβουλευθείσης M. 15 in climate enim secundo Leonis anaphora est XXXVI partium (Firm. 54, 13) eademque Scorpii (l. 21). 26 an ἐν <τῷ>? cf. 173, 34. 32 " Argo occidit cum Sagittarius oritur, cf. Arat. 686, Firm. VIII, 112r *b* per errorem : *in dextra parte Sagittarii oritur navis Argo.* Hoc l. fort. scr. ἡ Ἀργὼ <καὶ> τὸ Πλοῖον „ (Boll). 33 ἡ] ὁ M.

Digitized by Google

τοῦ συσχηματιζομένου· ἐκεῖνο δὲ ἐνεργήσει, ὅπερ ἡ ἐξ ἑκατέρων δηλοῖ σύγκρισις. ἐπεὶ οὖν ὁ Ἥλιος καὶ πατρίδα δηλοῖ καὶ ὄψιν, ἄμφω ἐγένετο, καὶ μάλιστα ἐν σινωτικοῖς τόποις καὶ ὀφθαλμικοῖς τοῦ Ἡλίου ὑπὸ κακοποιῶν βλαπτομένου. ἀλλὰ τῷ κ' ἔτει θείᾳ προνοίᾳ ἀνέβλεψε· παρὴν γὰρ καὶ ἡ Ἀφροδίτη τῷ Ἡλίῳ καὶ ὁ Ζεὺς ἑώρα ἐκ τετραγώνου· τὰ δὲ κ' ἔτη ἐδήλου ἡ Παρθένος διὰ τὸν κύριον Ἑρμῆν, ἐν ᾗ ὁ τοῦ Διὸς ἑώρα τὸν Ἥλιον. ἀλλὰ καὶ ὁ Ζεὺς ιβ' καὶ ἡ Ἀφροδίτη ἐκ τετραγώνου η'· ἀμφότεροι γὰρ τὸ ὀφθαλμικὸν πάθος ἔβλεπον. καὶ ὑπερίσχυσαν οἱ ἀγαθοποιοὶ διὰ τὸ ἐν χρηματιστικωτέροις τόποις εὑρεθῆναι. ἐνεργ(εῖ) δὲ τὰ εἰρημένα ἀποτελέσματα καὶ ἐν ταῖς ἀντιγενέσεσι· δεῖ γὰρ ὁρᾶν τὸν κύριον τοῦ ἔτους τίσι κατὰ πάροδον σχηματίζεται, καὶ μάλιστα εἰ τὸ ὅμοιον σχῆμα σώζει οἷον καὶ ἐπὶ γεννή(σεως). δεῖ δὲ καὶ τὰς ἐπεμβάσεις ὁρᾶν.

Περὶ τοῦ Διός.

Ὁ δὲ Ζεὺς τέκνων αἴτιος γονῆς, ἐπιθυμίας, γνώσεως, συστάσεως, φιλίας ἐξ ὑπερεχόντων προσώπων, δωρεῶν, εὐπορίας, ἀρχῆς καὶ δόξης προστασίας ἱερῶν, μεσιτειῶν, πίστεως, ἐπιτροπῆς, ἱερατείας, δικαιοσύνης κακῶν ἀπαλλαγῆς, καρπῶν εὐφορίας, κληρονομίας, υἱοθεσίας, ἐλευθερίας, αἰδοῦς, σεμνότητος, μεγαλοψυχίας, εἰρήνης, φιλοστοργίας, εὐποιίας, εὐετηρίας, εὐθηνίας, εὐεξίας σωματικῆς καὶ ψυχικῆς, τῆς ἐκ βασιλέων εὐεργεσίας, ὑγείας, καρπῶν δαψιλείας, στόλων εὐπλοΐας. πρόσωπα δηλοῖ μεσοχρόνια καὶ τιμητικά· παθῶν δέ ἐστιν αἴτιος, ὅταν κακῶται καὶ λόγον ἔχῃ πρὸς τὸν θανατικὸν τόπον, συνάγχης, περιπνευμονίας, ἀποπληξίας, σπασμῶν, κεφαλαλγίας καὶ καρδιακῶν διαθέσεων. τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει κατὰ μὲν Πτολεμαῖον ἀφῆς, πνεύμονος, σπέρματος καὶ ἀρτηριῶν· ὡς δὲ Οὐάλης, περὶ μὲν τὰ ἐκτὸς μηρῶν καὶ ποδῶν διὰ τὸν Τοξευτὴν καὶ τοὺς Ἰχθύας, ὅθεν καὶ δρόμον ἐν ἄθλοις παρέχει· περὶ δὲ τὰ ἐντὸς σπορᾶς, μήτρας, ἥπατος, δεξιῶν, ὀδόντων· οὐσίας δὲ κασσιτέρου. πλὴν μειώσεως ὕστερον τῆς ὑπάρξεως ποιητὴς καὶ ὅλως ἀνώμαλος περὶ τὸν βίον καὶ τὸ ἤθος.

Σὺν Ἄρει ὁ Ζεὺς προκοπῆς καὶ κτήσεως αἴτιος καὶ τιμῶν πολιτικῶν καὶ ἡγεμονίας λαοῦ καὶ συνεχῶν ἐπιτεύξεων. εἰ δὲ καὶ ἐν οἴκῳ Διὸς ἢ Ἄρεώς εἰσιν οὗτοι συνόντες, κρατεροὺς δυνάστας σημαίνουσι τῶν ἰδίων ὅπλων· ἴδια δὲ ὅπλα τοῦ μὲν Διὸς σκῆπτρα, τοῦ δὲ Ἄρεως δόρυ, τόξον, ξίφος.

1 ἅπερ M. 7 η'] β' M, cf. Firm. 74, 10. 9 ἐνεργοῦσι aut sim. potius voluisse vid. M. 10 de antigenesi Valens, V, 4; cf. cod. Marc. 334, f. 81. 15-19 cf. Valens supra p. 90, 1 sqq. 17 ἐπιτροπάς M. 19-21 e Ptol. 22ᵛ, 15-24. 23 de loco mortis, cf. cod. Flor. 169, 16. συνάχης M. 25 Ptol. 38ᵛ, 31. 26-29 e Valente supra p. 90, 7 sqq. 27 τοὺς] τοῦ M. Sagittarii enim et Piscium dominus est Iuppiter. 28 ἐκτὸς M. 29 κασιτέρου M. 31-35 = Firm. 75ᵛ b. *tunc enim fasces tunc arma, tunc illis maximi committuntur exercitus*, Firm.

Digitized by Google

Ὁ δὲ Ζεὺς σὺν Ἡλίῳ εἰ μὲν ὕπαυγος εἴη, πάντων τῶν ἀγαθῶν σπάνις ἔσται· εἰ δὲ ἔξαυγος, εὐτυχία καὶ περίκτησις βίου καὶ ὄφελος· οἶδε δὲ ἐπὶ εὐτυχ(ίᾳ) τῶν γονέων τίκτονται καὶ τὰς ἀπολαύσεις ἐκ βρέφους ἔχουσιν.

Σὺν δὲ τῇ Ἀφροδίτῃ ὁ Ζεὺς τὸ τιμητικὸν ἐπιδείκνυται καὶ ταῖς χάρισι κεκοσμημένον καὶ τὴν παρὰ πολλῶν φιλίαν, τό τε ἀγαθόφρον καὶ εὐσεβὲς καὶ ἀστεῖον καὶ τὸ παρ' ἡγεμόσι ποθεινὸν καὶ εὔφημον καὶ εὐκλεές. οὗτοι καὶ ἐξ ἐπισήμων τινῶν καὶ γυναικῶν τὸν βίον αὔξουσιν ἢ ἱερῶν προστατεύουσι· κατ' ἐξοχὴν δέ εἰσι φιλέρωτες καὶ πολλαῖς γυναιξὶν ἐν συνουσίᾳ γίνονται, εὔγαμοί τε καὶ εὔτεκνοι, εἰ μὴ ὁρᾷ Κρόνος καὶ Ἄρης. ἡ αὐτὴ σκέψις καὶ ἐπὶ γυναικῶν. τοῦ Διὸς σὺν Ἀφροδίτῃ ὄντος ἐπὶ δυνατῶν τόπων, εἰ Σελήνη τούτους ὁρᾷ καὶ ὁ Ἄρης ποθὲν μαρτυρεῖ, περὶ (f. 187ᵛ) συγγενικὰ πρόσωπα ὁ ψόγος ἔσται τῆς μίξεως [καὶ] ὡς ἔοικε, διὰ τὸ συγγενικὸν τῶν ζῳδίων. ὁ γὰρ Καρκίνος ὕψωμα μέν ἐστι τοῦ Διός, τρίγωνον δὲ Ἀφροδίτης, οἶκος δὲ Σελήνης· καὶ οἱ Ἰχθύες ὕψωμα μὲν Ἀφροδίτης, οἶκος Διός, τρίγωνον δὲ Ἄρεως καὶ Σελήνης.

Οὐάλεντος. Ἡ δὲ τοῦ Διὸς καὶ τῆς Ἀφροδίτης δόξης περιποιητικὴ καὶ ἐπικτήσεων καὶ δωρεῶν καὶ κόσμου σωματικοῦ, τέκνων τε γονῆς καὶ ἀρχιερωσύνης καὶ στεμματοφορίας, ὄχλων προστασίας, τῆς ἐν εἴκοσι τιμῆς, ἀνώμαλος δὲ περὶ γάμων καὶ τέκνων· ἔστι δὲ καὶ χρυσοφορίας παρεκτικός.

Σὺν δὲ Ἑρμῇ ὢν ὁ Ζεὺς τὸ εὔβουλον ἐπισημαίνει καὶ τὸ ἐν λόγοις δυνατὸν καὶ ἐν φρεσὶν ἄριστον, ἐφ' οἷς εἰσι καὶ τῇ πόλει σεμνό(τατοι)· γίνονται γὰρ γραμματικοὶ ἢ γραμματεῖς βασιλέων, ῥήτορές τε καὶ σοφισταί.

Οὐάλεντος. Ἡ τοῦ Διὸς καὶ Ἑρμοῦ συμπαρουσία διοικητὰς καὶ οἰκονομητὰς πραγμάτων καὶ ἐμπιστεύτους καὶ ἀπὸ λόγων ἢ ψήφων συστατοὺς καὶ ἀπὸ παιδείας φιλικ(ούς) τε καὶ εὐαρέστους. εἰ δὲ καὶ ἐν χρηματιστικῷ ζῳδίῳ εὑρεθῶσι, καὶ θησαυρῶν εὑρέται γίνονται ἔκ τε παρακαταθήκης καὶ δανείων ὠφελείας διδοῦσιν.

Σὺν δὲ Σελήνῃ ὁ Ζεὺς αὔξησιν τύχης καὶ πλοῦτον πολύν, εἴπερ ἔξαυγός ἐστι καὶ αἱρετ(ικὸς) καὶ ἐν κρείττονι τόπῳ· κρείττονα γὰρ καὶ τῶν γονέων ποιεῖ. ἐν δὲ νυκτερινῇ γενέσει, εἴπερ ἡ Σελήνη πλειόνων ἐστὶ μοιρῶν.

1-4 eadem Firm., l. c. 2 παράκτισις M. 3 an οἱ δὲ ἐπί? Firm., *et bono parentum videbuntur esse progeniti, ut ex die ortus sui omnia parentibus felicitatis insignia conferantur.* 5-17 = Firm. 75ᵛ*b* (cf. Lessing, ed. Lachmann, XII, 275, qui supplementa dat). 9 πολλοῖς M. 10 ἐόγαμοι M. 12 ἡ (τούτοις M. 18 sc. συμπαρουσία. 21 fort. γάμον καὶ τέκνα. 23-26 = Firm. f. 129, cod. Neap. (in quo solo haec extant). 24 possis κἀν τῇ πόλει. 28 ἀπὸ λόγων ἢ ψήφων ἀναγομένους ... εὐσυστάτους Valens. 29 εὐαςτ' M. 32-35 = Firm., l. c. 33 de αἱρέσει cf. ad. 166, 37.

Digitized by Google

καί κεν ἀμαυρώσειε τύχην καὶ μείονα θείη.

Τρίγωνος δὲ ὧν πρὸς Ἄρεα ὁ Ζεὺς ἀρχὰς δίδωσι καὶ τιμὰς παρ' ἡγεμόνων καὶ δραστικοὺς ποιεῖ.

Τετράγωνος δὲ καθυπερτερῶν δόξης, συστάσεως, εὐκλείας καὶ τιμῆς
5 αἴτιος· οἱ μὲν ἐν βασιλείοις αὐλαῖς ἀναστρέφονται, οἱ δὲ ἐν στρατείαις εἰσίν, οἱ δὲ τὰ δημόσια πράττοντες. τῶν δὲ πατρικῶν κτημάτων καὶ τοῦ βίου οὐκ ἀγαθὸς φύλαξ· λυπεῖ δὲ καὶ εἰς τέκνα· ἢ γὰρ ἀτεκνίαν ἢ ὀλιγοτεκνίαν ποιεῖ. Ἄρης δὲ τὸν Δία καθυπερτερῶν † ὀξυλάτους ταῖς ὁρμαῖς καὶ τῷ βίῳ σφαλλομένους καὶ ματαιοπονοῦντας ἐν βασιλικαῖς ὑπηρε-
10 σίαις καὶ πράξεσιν ἢ ἐν δημοσίαις, ἀφ' ὧν διαβολαὶ καὶ κατηγορίαι ἐγείρονται.

Διάμετρος δὲ ὧν ὁ Ζεὺς τῷ Ἄρει πᾶσαν ἀνωμαλίαν καὶ σκέδασιν τοῦ βίου ποιεῖται καὶ τοὺς φίλους ἐχθροὺς ποιεῖ, καὶ εἰκότως· ὁ μὲν γὰρ Ζεὺς εἰρήνης αἴτιος, ὁ δὲ Ἄρης ὀργῆς καὶ θυμοῦ, καὶ τὸ διάμετρον
15 σχῆμα ἐχθρῶδες. ἐκ προπετείας δὲ καὶ ἐκ ταραχῆς λογισμῶν θλίψεις σημαίνει.

Τὸ δὲ τρίγωνον Διὸς καὶ Ἡλίου πλούτου καὶ δόξης καὶ γάμου καὶ τεκνώσεως καὶ βίου ἐμφανοῦς αἴτιον.

Τὸ δὲ τετράγωνον Διὸς καὶ Ἡλίου τοῦ Διὸς ὑπερτεροῦντος προκο-
20 πῆς μεγίστης καὶ συστάσεως ἀγαθῆς τῷ πατρὶ καὶ τῷ παιδὶ αἴτιον καὶ ἔτι τῆς τῶν πολλῶν ὑπεροχῆς. εἰ δὲ ὁ Ἥλιος δεκατεύει τὸν Δία, ὁ μὲν πατὴρ λαμπρὸς πάνυ ἔσται, τὰ δὲ κτήματα τούτου μειοῦται· ἢ γὰρ τῇ πόλει κοινοῦται ἢ τῷ λαῷ, ἐνίοτε καὶ οἱ ἐχθροὶ αὐτοῦ τὴν κτῆσιν αὐτοῦ κληρονομοῦσιν.
25 Τὸ δὲ διάμετρον Διὸς καὶ Ἡλίου τοῖς πατρικοῖς κτήμασιν ὀλέθριον, καὶ ὁ παῖς ὑποτεταγμένος ἔσται ἀνδρὶ ἐλάττονι.

Τὸ δὲ τρίγωνον Διὸς καὶ Ἀφροδίτης χαρίεντας ποθεινοὺς ποιεῖ, ἐκ γυναικῶν καὶ φίλων προκόπτοντας.

Τὸ δὲ τετράγωνον Διὸς καὶ Ἀφροδίτης τοῦ Διὸς ὑπερτεροῦντος πολ-
30 λῶν φίλους, ἀπὸ θηλυκῶν προσώπων (f. 188) πράσεις καὶ κέρδη ἔχοντας, ἀστείους δὲ λίαν, θεοσεβεστάτους· εἰ δὲ [καὶ] ἡ Ἀφροδίτη τὸν Δία ὑπερτερεῖ, ἐρωτικοὶ ἔσονται, περικαλλῶς ἔχοντες εἰς γυναῖκας φιλοχαρεῖς τε καὶ φιλοκόσμιοι, πλὴν οὐχ οὕτως ἐν ταῖς τῶν πράξεων ἐπιβολαῖς ἐπιτυγχάνοντες· ἐν γὰρ ταύταις ἄμεινον τὴν Ἀφροδίτην ὑπὸ
35 Διὸς καθυπερτερεῖσθαι.

Τὸ δὲ διάμετρον Διὸς καὶ Ἀφροδίτης ἐν ταῖς τοῦ βίου προκοπαῖς οὐ καλόν· τούτοις δὲ οὐδεὶς φίλος ἀληθής, ἀλλ' ἕτερα μὲν λέγοντες ἕτερα

1 καί κενα ἀμαυρώσειεν M. 2 sq. cf. Firm. 68ᵛ *a*. 4-11 = Firm, 70ʳ *b*. 4 καθυπερτερεῖ M. 8 an ὀξυτάτους? 10 ἀφ' ὧν] ἀφώνως M. 12-16 = Firm. 73ᵛ *a*. 17 sq. = Firm. 68ᵛ *a*. 19-24 = Firm. 70ʳ *a* (ubi scr. *patrem* pro *tamen*). 25 sq. = Firm. 73ᵛ *a*. 25 ὀλέθρια uv. M. 27 sq. = Firm. 68ᵛ *a*. 29-35 = Firm. 70ʳ *a*. 30 nempe πράξεις (*et actus et lucra*, Firm.). 31 Ἀφροδίτη] σελήνη M. 32 περικαμῶς M. 34 ἐπιτυγχάνοντας M. 36-172, 4 = Firm. 73ᵛ *a*.

Digitized by Google

δὲ βυσσοδομεύοντες, ἐξ ὧν καὶ ἐπανάστασιν ἔξουσι καὶ κακὰς ἀμοιβὰς ἐκ τούτων ἀντιλήψονται. ἐν ἄλλοις δὲ πράγμασιν εὐτυχεῖς ἔσονται καὶ βίον ἕξουσιν ἱκανόν· καὶ πρὸς μὲν τὰς γνησίας γαμετὰς ἄστατοι, ἐν δὲ ἀλλοτρίαις μίξεσιν ἐπιτευκτικοί.

Τὸ δὲ τρίγωνον Διὸς καὶ Ἑρμοῦ περινομματικοὺς ποιεῖ καὶ λίαν 5 συνετοὺς καὶ ἐμπράκτους καὶ σεβασμίους καὶ τῇ πόλει περιβοήτους, ὑπὸ πολλῶν τιμωμένους, γραμματεῖς τε ἢ δημοσίους διοικήσεις πιστευομένους ἐκ βασιλέων καὶ ταῖς πράξεσιν ἀμέμπτους.

ἄλλοι δ' αἰθερίων ἄστρων ἐπιῖστορές εἰσιν·

Εἰκὸς δὲ τοῦτο γίνεσθαι, ὅταν ἐν τῷ θ' τόπῳ τὸ σχῆμα γένηται. 10 Ζεὺς τὸν Ἑρμῆν καθυπερτερῶν γραμματεῖς καὶ ψήφων διευθυντῆρας καὶ λογιστὰς σημαίνει· οἷς δὲ ἀπὸ κοινῆς προστασίας ὁ βίος καὶ ἡ πρᾶξις ἔσται. εἰ δὲ ὁ Ἑρμῆς τὸν Δία καθυπερτερεῖ, τὸν μὲν βίον οὐκ ἄποροι, τῇ δ' ἀκρισίᾳ πολλὰ τὰ ἐναντία διαπράττονται καὶ τὰ μὲν ἀγαθὰ ὡς φαῦλα ἐκτρέπονται, ὅπερ ἄλλοι λαβεῖν εὔχονται, οὗτοι λαβεῖν 15 οὐκ ἐθέλοντες καὶ αὐτόματα τὰ ἀγαθὰ ἰόντα εἰς αὐτοὺς ἀποφεύγουσι καὶ ἐπὶ ταῖς εὐεργεσίαις ἀχαριστούμενοι.

Τὸ δὲ διάμετρον Διὸς καὶ Ἑρμοῦ φαῦλον τοῖς περὶ λόγους ἐσπουδακόσιν· ὄχλων γὰρ ἐπανάστασιν καὶ ὀργὴν σημαίνει ἢ διαβολὰς ἐκ φθόνου πρὸς μείζονας, ἀδελφῶν τε θάνατον καὶ δίκας καὶ κρίσεις πρὸς 20 συγγενεῖς.

Τὸ δὲ τρίγωνον Διὸς καὶ Σελήνης εὐκλεεῖς καὶ ἔμφρονας. οἱ μὲν ἡγεμόνες ἔσονται ἢ κριταί, ὅταν τὸ σχῆμα ἐν τόπῳ Διός ἐστιν· οἱ δὲ δημηγόροι, ὅταν ἐν τόπῳ Ἑρμοῦ· οἱ δὲ στρατιῶται ἔνοπλοι, ὅταν ἐν τόπῳ Ἄρεως, ἢ τοιούτοις προσώποις συνδιατρίβουσιν. εἰ μὲν γὰρ 25 αὐξιφωτεῖ ἡ Σελήνη, αὐθεντικοὶ στρατιῶται ἔσονται· εἰ δὲ λειψιφωτεῖ, ὑπηρέται ἔσονται τῶν ἡγεμόνων. καὶ ἐν πᾶσι δὲ τοῖς λοιποῖς ἤγουν ἐν ταῖς μείζοσι καὶ ἥττοσι πράξεσι παραπλησίως διακριτέον.

Τὸ δὲ τετράγωνον Διὸς καὶ Σελήνης τοῦ Διὸς ἐπικειμένου νυκτὸς καὶ ἡμέρας τῇ τε μητρὶ καὶ αὐτῷ πρᾶξιν καὶ βίον δώσει· καὶ τοῦ ἰδίου 30 γένους ὑπέρτερος ἔσται ἕνεκα τιμῆς καὶ ἐπὶ προεδρίας λαοῦ τεταγμένος ὄνομα μέγα καὶ φήμην πολλὴν ἐν τῇ πόλει ἔχων. εἰ δὲ ἡ Σελήνη τὸν Δία δεκατεύοι, κλέος καὶ σύστασιν σημαίνει ἐν ἡγεμονικοῖς προσώποις· πλὴν ἐν προβάσει τῶν χρόνων ἐλάττωσίν τινα καὶ ἀπραξίαν ἔν τινι καιρῷ οἴσει. 35

1 βυσσημεύοντες M. 2 ἀντιλήψεται M. 4 ἀλλοτρίοις M. 5-10 = Firm. 68ᵛ*b*. 9 *alios faciunt caelestium siderum secreta cognoscere*, Firm. 10 cf. de nono loco Firm. 64, 4. 11-17 = Firm. 70ᵛ*b*. 11 subaudi : *de tetragono* (cf. ad 164, 17). 15 ἔχονται M. οὗτοι] an τοῦτο? cf. Firm. *ut quicquid alii nimis consequi desiderant precibus, id totum etiamsi caxu illis obvenerit obstinatae mentis iudicio contemnant.* 16 debebat ἀποφεύγοντες. 18-21 = Firm. 73ᵛ*b*. 18 περιλόγοις M. 22-25 = Firm. 68ᵛ*b*. 25 συνδιατρίβωσιν M. 27 δὲ τοῖς] τοῖς δὲ M. 28 ταῖς] τοῖς M. 29-35 = Firm. 71ʳ*a*.

Digitized by Google

Τὸ δὲ Διὸς καὶ Σελήνης διάμετρον αὐξιφωτούσης μὲν προεδρίας αἴτιον καὶ βίου ἐπισήμου. ἀρχικὸς γὰρ ἔσται, ἤθεσι δ' ὁρμητὴς καὶ ἄλλῳ τινὶ οὐκ εἴκων· καὶ μᾶλλον, ἡνίκα ἡ Σελήνη τὸν Δία ὑπερτερεῖ πλειόνων μοιρῶν οὖσα· λειψιφωτοῦσα δὲ μειώσει τὰ εἰρημένα καὶ σφάλματα πολλὰ ἐπάξει τῷ βίῳ.

Περὶ τοῦ Ἄρεως.

Τὸν δὲ Ἄρεα ποιητικὸν εἶναί φασιν βίας, τυραννίδος, ἁρπαγῆς, στρατείας, ὅπλων, πολέμων, ἀνδροκτασιῶν, ἔριδος, ταραχῆς, κραυγῆς, ἐπιβουλῆς, ὕβρεως, αἰχμαλωσίας, μοιχείας, φυγῆς, ἐκπτώσεων, ψεύδους, κλοπῆς, ληστείας, φίλων διαλύσεως, ὀργῆς, θυμοῦ, ἔχθρας, δικῶν, φόνων, αἱμαγμῶν, θράσους, προπετείας, ὀξύτητος, τόλμης, ῥιψοκινδυνίας, καύσεων, πληγῶν καὶ τομῶν ἐκ σιδήρου, ἐμπρησμῶν, πλάνης, ξενιτείας, ἐπιορκίας, ἱεροσυλίας, κακουργίας, ἀναιδείας, κυνηγεσίας, αὐθαδείας, ἀνυποταξίας, καταφρονήσεως, ὠμότητος· γίνονται δὲ καὶ μέθυσοι, ἀνελεήμονες, πλῆκται, φιλοθόρυβοι, ἄθεοι, μισοίκειοι· αἴτιος δὲ καὶ στάσεως καὶ ἐμφυλίων πολέμων, ἀνδραποδισμῶν, ἐπαναστάσεων, χόλων ἡγεμονικῶν, αἰφνιδίων θανάτων καὶ πάσης παρανομίας. καλῶς δὲ κείμενος στρατιωτῶν ἀρχὰς καὶ ἡγεμονικοὺς παρέχει. περὶ δὲ τὸν ἀέρα καύσωνας καὶ πνευμάτων θερμῶν αἴτιος, λοιμικῶν, συντηκτικῶν, πρηστήρων, κεραυνῶν, ἀνομβρίας· περὶ δὲ θαλάσσας αἰφνιδίων ναυαγίων ἐξ ἀτάκτων πνευμάτων ἢ κεραυνῶν· περὶ δὲ ποταμοὺς καὶ πηγὰς λειψυδρίας· φθορὰς δὲ καρπῶν αἴτιος ἐκ καυμάτων φλογερῶν ἢ βρούχων ἢ πν(ευμάτων) ἐκτινάξεως ἢ τῆς ἐν ταῖς ἀποθέσεσι συγκαύσεως· πρόσωπα δηλοῖ ἀκμαστικά· τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει κατὰ μὲν Πτολεμαῖον ἀκοῶν, εὐνύμων, νεφρῶν, φλεβῶν καὶ μορίων, κατὰ δὲ Οὐάλεντα κεφαλῆς, ἕδρας μορίου, αἵματος, χολῆς, σκυβάλων ἐκκρίσεως, ὀπισθίων, μερῶν. πάθη δὲ ποιεῖ πτώσεις ἀφ' ὕψους ἢ τετραπόδων, ἐπισκιασμούς, ἀποπληξίας, πυρετοὺς τριταϊκοὺς καὶ ἡμιτριταϊκὰς περιόδους, νεφρίτιδας, αἱμοπτυσίας, αἱμορραγίας, ἐκτρωσμούς, ἐρυσιπέλατας, αἰφνιδίας πληγὰς καὶ ὅσα κατ' ἐκπύρωσιν ἄμετρον τοῦ θερμοῦ. τέχνας δὲ δίδωσι τὰς διὰ πυρὸς καὶ σιδήρου· οὐσίας δὲ κύριος σιδήρου καὶ διὰ τὸν Κριὸν κόσμου ἱματίων καὶ οἴνου καὶ ὀσπρίων.

Σὺν δὲ Ἡλίῳ ὢν ὁ Ἄρης τὸν μὲν πατέρα ταχυθάνατον ἢ κακοθάνατον σημαίνει· εἰ δὲ καὶ ἐπίκεντρός ἐστιν ὁ Ἄρης ἢ ἐπανερχόμενος, χεῖρον. εἰ

1-5 Firm. 73ᵛ*b*. 2 βίας M. 4 πλειόνων] in M fuisse vid. ἡττόνων, sed ητ lacuna haustum. μειώσεις M. 5 ἐπάξει] ἐπ cum charta periit. 7 sqq. cf. Valens supra p. 90, 12; Ptol. 42ʳ, 28 sqq. 10 φιλιῶν Cumont. 16-24 paene omnia e Ptol. 22ʳ, 25-22ᵛ, 6. 18 nempe ἡγεμονίας. 19 καυσωνίας M. 20 συντοκτικῶν M. κερῶν M. 21 πνευμάτων dubito num verum sit. 24 ἀκματικά M. 25 Ptol. 38ʳ, 32. 26 Valens supra, p. 90, 23. 27 cf. Ptol. 22ʳ, 29; 39ʳ, 30. 31-33 cf. Valens supra p. 90, 20. 32 διὰ τὸν κριὸν καὶ M, transpos. ex Val. 34-174, 5 = Firm. f. 129ᵛ, cod. Neap. 35 ἐπανερχόμενος] *in aliqua anafora cardinis*, Firm.

Digitized by Google

δὲ μὴ ἔχει πατέρα, εἰς πατρυὸν ἢ ὂν ἐν τάξει πατρὸς ἔχει ἀποβήσεται· ὡσαύτως καὶ ἐπὶ μητρός. κίνδυνοι δὲ πυκνοὶ περὶ τὸν γεννηθέντα· ἔνιοι καὶ τοὺς ὀφθαλμοὺς ἐβλάβησαν ἢ ἐκ σιδήρου καὶ πυρὸς τὸ σῶμα πάσχουσιν, ἄλλοι μανίαν νοσοῦσι καὶ φρενοβλάβειαν. ὁ δὲ πατρικὸς βίος σκεδάννυται. 5

Σὺν δὲ Ἀφροδίτῃ τὰ ἴσα τῶν τετραγώνων ποιοῦσιν.

Σὺν δὲ Ἑρμῇ ψεύστας μέν, συνετοὺς δὲ καὶ πολλῶν ἴδριας κατ' ἐξοχήν, περὶ κρίσεις ὡς τὰ πολλὰ καὶ πανουργίας ἔχοντας· ἐνίους γυμναστάς, ἀθλητάς, ἡνιόχους καὶ ἐκ τούτων ἐπισήμους γινομένους, εἴπερ οἱ ἀγαθοποιοὶ ὁρῶσιν· ὅμως παιδερασταὶ ἔσονται, καὶ εἰ ὁ Κρόνος 10 ἴδοι, ψόγον πολὺν ἐν τούτοις ἐποίσει.

<Οὐάλεντος>. Ἡ δὲ τοῦ Ἄρεως καὶ Ἀφροδίτης συμπαρουσία. ταῖς γνώμαις ἄστατοι καὶ ἄκρατοι καὶ ζηλότυποι, πολύφιλοι δὲ καὶ περὶ τὰς μίξεις ἀδιάφοροι καὶ κακοῦργοι· ἐκ θηλυκῶν παρέχ(ει) προσώπων καὶ φαρμακίας καὶ κρίσεις καὶ διαβολὰς καὶ ταραχάς. 15

Εἰ δὲ τοῦ Ἄρεως καὶ Ἑρμοῦ συνόντων αὐτοί τε ὕπαυγοι εὑρεθεῖεν καὶ κατά τι κέντρον καὶ ἔτι ἡ Σελήνη τούτους ὁρᾷ, κακόβουλοι ἔσονται καὶ ψεῦσται, ληστῶν τρόπον ἔχοντες, ἔτι γε μὴν καὶ πλαστογράφοι· καὶ εἰ μὲν ὑπὸ Διὸς <ὀφθῶσιν>, (f. 189) εὐτυχοῦσιν ἐν τούτοις· εἰ δὲ ὑπὸ Κρόνου, ἐλέγχονται καὶ δεινὰ πάσχουσιν. 20

Σὺν δὲ Σελήνῃ ὢν ὁ Ἄρης θερμόν τε καὶ οὐ δύστευκτον ἔθηκε, καὶ μᾶλλον ἐπίκεντρος· τινὲς ὀλιγοχρόνιοι, ἄλλοι σεσινωμένοι, καὶ κινδύνοις περιπίπτουσιν· ἕτεροι κακοθάνατοι ἢ ἐκ ξίφους ἀποτεμνόμενοι, εἰ μὴ ὁ Ζεὺς ἴδ(οι). καὶ ἡ μήτηρ δὲ ἀσθενικὴ ἔσται.

Τρίγωνος δὲ ὢν ὁ Ἄρης τῷ Ἡλίῳ ἀρχοντικοὺς ποιεῖ· ἀλλὰ βελτίων 25 ἡ ἀρχὴ ἔσται, εἴπερ ἐν νυκτερινῇ γενέσει τὸ μὲν δεξιὸν ὁ Ἥλιος ἔχει, τὸ δὲ ἀριστερὸν ὁ Ἄρης· καθυπερτερεῖ τότε τὸν Ἄρεα ὁ Ἥλιος καὶ κρατερὸς δυνάστας ποιεῖ. εἰ δὲ πρὸς τούτοις καὶ ὁ Ζεύς ἐστι τρίγωνος αὐτοῦ καὶ ἐπίκεντρος τῆς Σελήνης ἐν τόπῳ καλῷ οὔσης, τότε καὶ ζωῆς καὶ θανάτου γίνονται κύριοι. 30

Ἐκ δὲ τετραγώνου καθυπερτερῶν τὸν Ἥλιον ὁ Ἄρης ἀεὶ βλάπτει καὶ νόσοις περικυλίει καὶ ἐν τῇ προκοπῇ ἐναντιοῦται. εἰ δὲ ὁ Ἥλιος δεκατεύει τὸν Ἄρεα, αὐτῷ τε καὶ τῷ πατρὶ ὀλέθριος· παίσματα γὰρ πάμπολλα φέρει καὶ τὴν κτῆσιν ἀποστερεῖ καὶ οἷς μὲν παραφροσύνην ἐπάγει, ὧν δὲ τοὺς ὀφθαλμοὺς ἠμάλδυνε· καὶ χεῖρον ἐν ἡμερινῇ γενέσει. 35

Διάμετρος δὲ τῷ Ἡλίῳ ὁ Ἄρης τοῦ πατρὸς ὀλέθριος ἢ καὶ τὰ ὄμματα σινοῖ· τῷ δὲ κίνδυνον ἀφ' ὕψους καὶ πολλὰς ἐναντιώσεις. καὶ ταῦτα μὲν ἡμέρας, νυκτὸς δὲ ἀδράνειαν καὶ ἔκπτωσιν βίου.

6 hoc non prorsus verum, si Firmico fides f. 129ᵛ, cod. Neap. 7-11 et 16-20 = Firm., l. c. 9 ἔνιοχ' M. 12-15 e Valente sumpta sunt. 13 ἀκρατεῖς Valens. 14 παρέχ' M. 19 ὀφθῶσιν supplevi in lacuna codicis. 21-24 = Firm. f. 130, cod. Neap. 25-30 = Firm. 68ᵛ *b*. 31-35 = Firm. 71ʳ *a*. 32 νόσους M suprascr. οι. 35 ἡμέλυνε M. 36-38 Firm. 74ʳ *a*. 37 nempe αὐτῷ δὲ (*ipsos vero*, Firm.).

Digitized by Google

Πρὸς δὲ τὴν Ἀφροδίτην τρίγωνος ὢν ὁ Ἄρης εὐπορίαν καὶ λέχος εὔνυμφον δίδωσι· φιλόκοσμον ποιεῖ καὶ μεγαλόφρονας καὶ πολλῶν γυναικῶν λέχη θηρῶντας.

Καθυπερτερῶν δὲ ὁ Ἄρης τὴν Ἀφροδίτην κρίσεις μάχας καὶ ζημίας διὰ γυναῖκας σημαίνει· εἰ δὲ ἐν τροπικοῖς ζωδίοις, ἀνδρόγαμος ἔσται κίναιδος, μαλακός, πασχητιῶν. εἰ δὲ μέτρα ζωῆς ἔχουσι, συμπράξουσι τῇ μοιχείᾳ τῶν γυναικῶν αὐτῶν ἢ εἰδότες ἀνέξονται· εἰ δὲ γυναικός ἐστιν ἡ γέννησις, ὁμοίως καὶ αὐτὴ ἀνέξεται πολλὰ λυπουμένη ἐπὶ ταῖς πρὸς ἀλλοτρίας μίξεσι τοῦ ἀνδρός. εἰ δὲ ἡ Ἀφροδίτη δεκατεύοι τὸν Ἄρεα, τὰ ἴσα ποιεῖ, πλὴν λαθραίως καὶ οὐ φανερῶς.

Ἄρης διαμετρῶν Ἀφροδίτην ῥέμβους καὶ ἀστατοῦντας· βάσκανος δ' ἡ Ἀφροδίτη καὶ ἐν γάμῳ καὶ ἐν τέκνοις. εἰ δὲ καὶ ἐν τροπικοῖς ζῳδίοις, τὰ ἴσα τῶν τετραγώνων ποιεῖ.

Τὸ τρίγωνον Ἄρεως καὶ Ἑρμοῦ ἐμπράκτους καὶ συνετοὺς καὶ ἐν βουλαῖς ἐπιτευκτικούς, τοῖς τε ἔργοις ὀξεῖς· οὗτοι δὲ καὶ ἐκ γραμμάτων καὶ παιδείας καὶ λόγου τὸν βίον αὔξουσιν.

Ἄρης δὲ τὸν Ἑρμῆν δεκατεύων δεινῶν πολλῶν αἴτιος, συνοχὰς ἐπάγων καὶ τὰς πράξεις κωλύων, διαβολάς τε καὶ κατηγορίας παρέχων· καὶ μᾶλλον ἐν ἡμέρᾳ, ἐν δὲ νυκτὶ ἧττον.

Ἄρης Ἑρμῆν διαμετρῶν πλαστογράφους ποιεῖ καὶ φαρμάκων συνίστορας, ἐν ἐγγύαις καὶ χρέεσι γινομένους. ὅθεν πολλάκις, φησί, πίστιν ἀποστέργουσι δικαίων καὶ τούτων ἕνεκα κρίνονται παρ' ἡγεμόσι καὶ φόβους ὑπομένουσι. οἱ δὲ καὶ τῆς πατρίδος ἀπελαύνονται, καὶ μᾶλλον εἰ ἐν ὁρίοις Κρόνου ἢ τοῖς ἰδίοις ὁρίοις εἰσὶν ἢ τοῦ Ἑρμοῦ ἐν ἰδίοις ζῳδίοις.

Ἄρης τρίγωνος ὢν τῇ Σελήνῃ ἀποκρουστικῇ οὔσῃ ἐμπράκτους ῥαδίως περιγινομένους ὢν ἐθέλουσι πράξεων· εἰ δ' ἔτι καὶ ὁ Ζεὺς ὁρᾷ, ἀρχικοὺς ἐνδόξους καὶ λίαν ἰσχυρούς· ἐν ἡμέρᾳ δὲ αὐξιφωτοῦσα τῷ τε βίῳ καὶ τῷ σώματι χαλεπή.

Τὴν δὲ Σελήνην δεκατεύων ὁ Ἄρης χηρείᾳ τὴν μητέρα περιβάλλει ἢ τὸν βίον ἐλαττοῖ· καὶ τινῶν αἱ μητέρες ἐξ αἵματος ἢ κακοθανασίας ἀναιροῦνται. (f. 189v) οἱ δὲ μανίας νοσοῦντες ἐπὶ ναοὺς καταφεύγουσι, καὶ μᾶλλον ὅταν ὁ Ἄρης ἐν ὁρίοις Κρόνου ἐστίν, ἡ δὲ Σελήνη ἐν ὁρίοις Ἄρεως ἢ Ἑρμοῦ· πολλάκις γὰρ ἡ δύναμις τῶν ὁρίων ἢ ἐπέτεινεν ἢ ἀνῆκεν.

1-3 = Firm. 69r *a*. 1 λέγχος M. 4-10 = Firm. 71v *b*. 6 εἰ - ἔχουσι non intellego nec quicquam simile apud Firm. 11-13 = Firm. 74r *a* ubi extrema quoque. 14-16 = Firm. 69r *a*. 17-19 = Firm. 71v *a* qui etiam alteram partem apotelesmatis exhibet, sc. Mercurio Martem superante. 20-25 Firm. 74r *a*. 22 τούτ(οις) M. 23 ἀπολαύνονται M. 26-29 = Firm. 69r *a*. ἀποκρουστικῇ i. e. si sit *minuta luminis*, ut Firmicus vertit. 30-35 Firm. 71v *b*. 31 αἵματος] *profluvio sanguinis*, Firm. 34 *frequenter enim ex benivolarum stellarum finibus praecedentis malitiae mitigatur improbitas*, Firm. 35 ἀνῆξεν M.

Digitized by Google

Ἄρης Σελήνην διαμετρῶν ὀλιγοχρονίους ποιεῖ καὶ κινδύνους συχνοὺς δίδωσιν· οἱ μὲν γὰρ ἄγαμοί εἰσιν, οἱ δὲ θάπτουσι τὰς γυναῖκας, καὶ ἡ τελευτὴ τούτων κακή· ἡ γὰρ μανίας ἢ τομὰς μελῶν ἢ δεσμ(οὺς?) π(οιεῖ?).

Περὶ τοῦ Ἡλίου.

Ὁ δὲ Ἥλιος αἴτιός ἐστιν ψυχικῆς αἰσθήσεως καὶ νοός, βασιλείας, ἡγεμονίας, ὕψους, θείων χρηματισμῶν, δημοσίων πράξεων, προστασίας, ὀχλικῆς, πατέρων, δεσποτῶν, εἰκόνων, ἀνδριάντων, στεμμάτων, ἀρχιεραρχίας, πατρίδ(ος). τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει ὀφθαλμῶν δεξιῶν, ἐγκεφάλου, καρδίας, νεύρων καὶ τῶν δεξιῶν πάντων· κατὰ δὲ Οὐάλεντα κεφαλῆς, αἰσθητηρίων, ὀφθαλμοῦ <δεξιοῦ>, καρδίας. νεύρων, πλευρῶν, οὐσίας δὲ χρυσοῦ, καὶ καρπῶν σίτου καὶ κριθῆς.

Συνὼν δὲ τῇ Ἀφροδίτῃ ἑσπερίᾳ ἀνατολικῇ ἐν νυκτί, ἐν δὲ ἡμέρᾳ ἑῴᾳ ἀνατολικῇ, ἐνδόξους καὶ ἐμπράκτους. εἰ δὲ ἑσπερία μέν ἐστιν, ἐν ἡμέρᾳ δέ, καὶ ἑῴα μέν, νυκτὸς δέ, μέσους. ἔστι δὲ καὶ δωρηματικὴ ἡ τούτων συμπαρουσία καὶ ἐν ταῖς ἐπιβολαῖς εὐεπίτευκτος καὶ μάλιστα ἐν προστασίαις ὄχλων, εἰς δὲ τὸν περὶ γυναικῶν καὶ τέκνων λόγον οὐκ ἄλυπος, καὶ μάλιστα ὑπαύγου οὔσης τῆς Σελήνης.

Σὺν δὲ Ἑρμῇ ὢν ἐπὶ ἑῴας ἀνατολῆς καὶ ἑσπερίας πεπαιδευμένους ἢ γραμματεῖς ἐξ ἀγχινοίας πλουτοῦντας καὶ εὐπραγοῦντας καὶ ἄλλων ἄρχοντας.

Ἡ δὲ τοιαύτη συμπαρουσία κατὰ Οὐάλεντα ἐστὶν † πολύφιλοι καὶ ὑποκριτικοὶ καὶ ποικίλοι καὶ ἐν δημοσίοις τόποις ἀναστρεπτικοί, κριτικοί τε καὶ καλῶν ἐραστικοὶ καὶ περὶ θεὸν εὐσεβεῖς, εὐεργετικοὶ καὶ φιλοσυνήθεις, αὐτάρκεις, θρασύδειλοι· γενναίως τὰ προσπίπτοντα φέρουσι, περὶ δὲ τὰς δόξας δυσεπίτευκτοι καὶ περὶ τὸν βίον ἀνώμαλοι ὑψοταπεινώματα ἔχουσιν, οὐ πάντη δὲ ἄποροι.

Τὸ δὲ τρίγωνον Ἡλίου καὶ Σελήνης, δεξιὸν μὲν τὸ σχῆμα· ὅμως πρὸς τὰς μαρτυρίας τῶν ἀστέρων δεῖ ἀποβλέπειν.

Ἥλιος Σελήνη τετράγωνοι ἐν τοῖς κέντροις καὶ ὑπὸ Διὸς ὁρώμενοι πράξεως, δόξης καὶ συστάσεως αἴτιοι· ὑπὸ δὲ κακοποιῶν ὁρώμενοι χαλεποὶ πρός τε τὸν βίον καὶ αὐτὴν τὴν ζωήν. εἰ δὲ ὑπὸ κακοποιῶν μὲν ὁρῶνται, ἡ δὲ Σελήνη συνοδεύει τῷ Διί, λαμπροὺς μέν, βασκαινομένους δέ.

1-4 = Firm. 74ᵛ *b*. 2 *sed et ipsos malo exitu mortis interimunt aut publica animadversione prosternunt*, Firm. 6-9 e Valente supra p. 88, 1 sqq. 9 sq. ex Ptol. 38ᵛ, 1 (qui δράσεως pro ὀφθ. δεξ.). 10-12 cf. supra p. 89, 2. 11 suppl. ex Valente 13-18 = Firm. f. 130ᵛ, cod. Neap. 14 sq.: *si in diurnis genituris matutina fuerit Venus et in nocturnis vespertina*, Firm. 17 τὸν] τῶν M. 18 ὕπαυγος M. 19-21 Firm., l. c. aut del. καὶ ἑσπερίας (om. Firm.) aut add. δύσεως. 22 συμπαρούσα M pergere debebat ποιεῖ πολυφίλους, etc., quod habet Valens. 23 ἀνατρεπτικοί M., τὰς ἀναστροφὰς ἔχοντας, Valens. 27 ὕψη ταπεινώματα corr. Cumont, ἐν ὑψοταπεινώμασι γινόμενοι, Valens. 28 sq. cf. Firm. 69ᵛ *b*. 30-34 = Firm. 71ᵛ *b*. 33 βασκανομένους M.

Digitized by Google

Περὶ Ἀφροδίτης.

Ἔστι δὲ ἡ Ἀφροδίτη αἰτία ἔρωτος καὶ ἐπιθυμίας· δηλοῖ δὲ καὶ μητέρα καὶ γυναῖκα καὶ πᾶσαν ὄρεξιν καὶ ἀκολασίαν καὶ ἡδονήν, ἱερωσύνην τε καὶ γυμνασιαρχίαν, χρυσοφορίαν, στεμματοφορίαν, γάμον, ἀφροδισιακὰς ἐπιπλοκὰς καὶ πᾶσαν τρυφὴν σωματικὴν καὶ ἀπόλαυσιν καὶ κόσμου εὐπρέπειαν, βλακείαν, ἱλαρότητα, ποικιλ(ότητα), χρωματουργίαν, ζωγραφίαν, ἐλεφαντουργίαν, μυραλοιφίαν καὶ τέχνας καθαρὰς καὶ τὰς ἐκ λίθων πολυτίμων τάς τε ἐκ βασιλίδων, ἢ ἀρχοντίδων ὠφελείας καὶ προκοπὰς καὶ τιμάς, φιλοσαρκίαν, γέλωτα, ὄρχησιν, μισοπονηρίαν, φιλοθεΐαν, εὐσχημοσύνην σωματικὴν, εὐεξίαν, φιλοστοργίαν, εὐεργεσίαν, ἐλεημοσύνην, ἐπιτυχίαν καὶ παντοίας ἐπαφροδισίας. (f. 190) κακουμένη δὲ μοιχείαν, φαρμακείαν, ῥαθυμίαν, θηλυμανίαν, ὀνείδη, ψόγους, αἰσχρουργίας· καλῶς δὲ κειμένη δόξης αἰτία καὶ ἐπικτήσεως. περὶ δὲ τὸν ἀέρα πνεύματα δίυγρα καὶ θρεπτικὰ ποιεῖ, καὶ εὐκρασίας, εὐαερίας, αἰθρίας, ὑδάτων γονίμων δαψιλεῖς ἐπομβρίας, περὶ θαλάσσας εὐπλωΐας, στόλων ἐπιτυχίας, ἐπικερδείας, ποταμῶν δὲ πλήρεις ἀναβάσεις, καρπῶν δαψιλείαν καὶ εὐφορίαν. τῶν δὲ τοῦ σώματος κυριεύει ὀσφρήσεως, ἥπατος καὶ σαρκῶν. κατὰ δὲ Οὐάλεντα τραχήλου, προσώπου, χειλέων, συνουσιαστικῶν μορίων, τῶν δὲ ἐντὸς πνεύμονος. παθῶν δὲ τῶν στομαχικῶν πάντων καὶ ἡπατικῶν καὶ δυσεντερικῶν, διαθέσεων, λειχήνων, νομῶν συρίγγων φαρμακοποσίας καὶ ὅσα τοῦ ὑγροῦ πλεονάσαντος ἢ φθαρέντος συνίσταται· οὐσίας δὲ κυριεύει πολυτίμων λίθων καὶ γυναικείου κόσμου καὶ ποικίλης τέρψεως, καρπώσεως δὲ ἐλαίας.

Ἡ δὲ Ἀφροδίτης καὶ Ἑρμοῦ συμπαρουσία σύμφωνος· κωτίλους γὰρ καὶ εὐομίλους καὶ χαρίεντας ποιεῖ φιλοφίλους τε καὶ φιλοκάλους καὶ περὶ παιδείαν καὶ σωφροσύνην τὸν νοῦν ἔχοντας, τιμητικούς τε καὶ δωρητικοὺς περὶ δόσεις καὶ λήψεις καὶ ἀγορασμοὺς ἀσχολουμένους. ταῦτα δὲ πάντα ἢ ἐπιτείνεται ἢ ἀνίεται ἐκ τῆς τοπικῆς διαγνώσεως καὶ τῆς τῶν ἀστέρων φάσεως. περὶ δὲ γυναῖκας ἄστατος καὶ εὐμετανόητος. Ἀφροδίτη καὶ Ἑρμῆς ἀλλήλους καθυπερτεροῦντες ἀστείους τέχνης εἰδήμονας ἢ παιδείας καὶ ἐκ τούτων ἐμφανεῖς ὄντας, πλὴν ψεγομένους ἐπὶ ἀφροδισιακῶν πράξεων.

Ὁ δὲ τῆς Ἀφροδίτης καὶ Σελήνης ἀγαθὸς μὲν περὶ δόξαν καὶ περίκτησιν, περὶ δὲ τὰς συμβάσεις τὰς γαμικὰς ἄστατος καὶ ἀντίζηλος καὶ ἐχθρά· προξενεῖ γὰρ καὶ τὰς ἐκ συγγενῶν ἢ φίλων κακουργίας καὶ ταραχάς. ἀλλ' οὐδὲ περὶ τέκνα ἢ σώματα ἀγαθὴ τήν τε κτῆσιν ἀπαράμονον ποιεῖ καὶ ψυχικὰς ἀνοίας ἐπάγει.

2-9 fere e Valente supra p. 90, 30 sqq. 4 γυμνασίαν ἀρχίαν M. 9-12 cf. Ptol. 42ᵛ, 28-33. 13-17 Ptol. 22ᵛ, 13-18. 17 sq. ex Ptol. 38ᵛ, 2. 18 sq. e Valente supra p. 91, 6. 22 sq. = Valens supra p. 91, 9. 24-29 = Firm. f. 131, cod. Neap. 25 πολυφίλων M. 26 ἔχοντας] ἐλς M. 29 φάσεως sc. ortu occasu matutino vespertino; cf. e.g. Ptol. 40ᵛ, 4. 30-32 = Firm. 72ᵛ *a*. 33-37 cf. Firm. f. 131ᵛ, cod. Neap. 33 fuit fort. Ἡ δὲ (sc. συμπαρουσία) ... ἀγαθὴ. 35 fort. ἔχθρας (ut pendeat a περὶ) aut δὲ pro γὰρ. 37 an ἀνίας?

Digitized by Google

Ἀφροδίτη Σελήνην δεκατεύουσα ἐπ' ἀγαθοῖς ἀγαθὰ δώσει καὶ πρᾶξιν καὶ καλὸν σχῆμα βίου καὶ στορτὴν ἐν γυναιξὶ καὶ εὐφροσύνην καὶ βίον εὔχαριν καὶ γλυκὺ ἐν ὁμιλίαις· πλὴν ἀστατοῦσιν ἐν ταῖς συζυγίαις· αἱ δὲ μητέρες τῷ μὲν ἤθει σεμναί, δίγαμοι δέ.

Ἀφροδίτη (Σελήνην διαμετροῦσα) οὐκ ἀγαθὴ πρὸς γάμον· καθόλου γὰρ ἡ Ἀφροδίτη τετράγωνος ἢ διάμετρος πρὸς Σελήνην ἐπὶ παντὸς πράγματος ζηλοτυπίας ποιεῖ. σημαίνει δὲ ἀτεκνίας· εἰ γὰρ καὶ τέκνα γε(ννῶνται), θανατοῦνται. διὰ δὲ γυναῖκας ὑβρίζονται καὶ δεινὰ πάσχουσιν.

Περὶ Ἑρμοῦ.

Ὁ δὲ Ἑρμῆς τῆς γραμμάτων παιδείας αἴτιος, λόγου, ἐλέγχων, σοφιστικῆς, ῥητορικῆς, γεωμετρίας, ἀστρονομίας, συνέσεως, ψήφου, ἀδελφότητος, ὑπηρεσίας, ἀγγελίας, κέρδους, εὑρημάτων, φωνασκίας, πάλης ἀσκήσεως, κρίσεως σφραγίδων, πάσης δοσοληψίας καὶ ἐμπορίας, ἐπιστολῶν, τέκνων νεωτέρων, μηχανημάτων, ὀξυπραγιῶν. ἔστι δὲ κύριος τοῦ νοεροῦ μέρους τῆς ψυχῆς· ποιεῖ δὲ γυμναστὰς, πλάστας, ἀγαλματοποιούς, ἱεροτεύκτας, ἰατρούς, νομικούς, γραμματικούς, ψηφιστάς, φιλοσόφους, μάντεις, θύτας, ὀρνεοσκόπους, μουσικούς, ἀρχιτέκτονας, ὀνειροκρίτας, ὑφάντας, μεθοδικούς, καὶ τοὺς εἰς δημοσίας χρείας ἢ πρεσβείας στελλομένους, ἱερουργούς, νεωκόρους, νοήμονας, εὐεργετικούς, πολυΐστορας, ἐμπείρους, εὐφυεῖς, φυσιολόγους, εὐστόχους, ἐπιτευκτικούς· ἐπὶ δὲ τῆς (f. 190ᵛ) ἐναντίας διαθέσεως πανούργους, προπετεῖς, ἐπιλήσμονας, κούφους, εὐμεταβόλους, μωρακάκους, ἄφρονας, ψεύστας, ἀστάτους, ἀπίστους, πλεονέκτας, ἀδίκους καὶ ὅλως σφαλεροὺς τῇ διανοίᾳ.

Συσχηματισθεὶς δὲ τῷ Κρόνῳ [καὶ] δολερούς, λήστας τε καὶ κλέπτας καὶ ἐνεδρευτὰς καὶ ὀξεῖς εἰς τὸ κακόν· ἐπάγει δὲ καὶ πλαστογραφίας καὶ ἀθεμιτουργίας καὶ περιβοησίας.

Περὶ δὲ θαλάσσας κεκακωμένος δυσπλοῖας ποιητικός, ἀποτελεστικὸς δὲ καὶ τῆς περὶ τὸν ἱερατικὸν λόγον καὶ τὰς θρησκείας καὶ τὰς βασιλικὰς προσόδους καὶ τῆς τῶν ἐθίμων καὶ νομίμων κατὰ καιροὺς ἐναλλοιώσεως ἐπὶ τὸ χεῖρον ἢ κρεῖττον. περὶ δὲ τὸν ἀέρα πνεύματα ὀξέα καὶ ἄτακτα ἐγείρει καὶ εὐμετάβολα, βροντῶν τε ποιητικὸς καὶ ἀστραπῶν καὶ χασμάτων καὶ σεισμῶν. πρόσωπα δὲ σημαίνει νέα. τῶν δὲ τοῦ σώματος

1-4 = Firm. 72ʳ *a*. 1 *praecedentibus bonis meliora decernit*, Firm. 3 εὔχαρι M, correxi dubitanter; cf. Firm., *et praeclarae artis insignia et honestae conversationis ordinem et dulcis sermonis gratiam*. 5-9 = Firm. 74ᵛ*a*. 11-20 e Valente supra p. 91, 12. 13 φωσασκίας M. 17 νομικούς i. e. iuris consultos. 20-25 ex Ptol. 43ʳ, 18-24 ex quo ἐναντίαν διάθεσιν desumpsit, quamquam de ἐνδόξῳ nil dixit. 21 εὐστίχους M. 26-28 transcripsit ut vid. ex Ptol. 41ᵛ, 16-20 praeter consuetudinem; sequentia rursus de Mercurio solo dicta. 28 ἀθεμετουργίας M. 29-34 ex Ptol. 22ʳ, 22-31 (ubi l. 22, scr. δυσπλοίας). 30 τῶν ἱερατικῶν M. 31 ἐθέμων M. 34 sq. = Ptol. 38ᵛ, 2.

Digitized by Google

μερῶν κυριεύει λόγου, διανοίας, γλώσσης, χολῆς, ἕδρας· ὡς δὲ Οὐάλης, χειρῶν, ὤμων, δακτύλων, ἄρθρων, ἀρτηρίας, κοιλίας, γλώσσης· πάθη δὲ ποιεῖ μανίας, ἐκστάσεις, μελαγχολίας, ἐπιληψίας, πτωματισμούς, βηχικά τε καὶ ἀναφορικὰ καὶ ὅσα τοῦ ξηροῦ πλεονάσαντος ἢ φθαρέντος συνί-
5 σταντται. οὐσίας δὲ κυριεύει χαλκοῦ καὶ νομίσματος παντός.

Ὁ Ἑρμῆς σὺν Διὶ τετράγωνοι πρὸς ἀλλήλους κριτὰς ποιεῖ ἢ πόλεων ἄρχοντας.

Ὁ Ἑρμῆς σὺν Ἄρει κακὸς εἰς παρακαταθήκην· ἀρνοῦνται γὰρ οἱ λαβόντες.

10 Ἡ δὲ τοῦ Ἑρμοῦ καὶ τῆς Σελήνης συμπαρουσία ἀγα(θὴ) περὶ δόξαν καὶ σύστασιν ἀρσενικῶν καὶ θηλυκῶν καὶ τὴν εἰς παιδείαν καὶ λόγον ἰσχὺν καὶ περὶ τὰς λοιπὰς ἐγχειρήσεις καὶ συναλλαγὰς κοινωνική· μηχανικῶν πολύπειρος καὶ πολύεργος, ἀνεπίμονος δὲ ταῖς πράξεσι καὶ ταῖς γνώμαις καὶ περὶ τὸν βίον ἀνώμαλος.

15 Εἰ δ' ὁ Ἑρμῆς τὸν Ἥλιον δεκατεύει, δεινούς, πανούργους, ἅρπαγας, ἀλλότρια πρόσωπα ἐνεδρεύοντας καὶ τούτους προδιδόντας καὶ διαβάλλοντας καὶ τῶν προσόντων γυμνοῦντας.

Ἑρμῆς δὲ Σελήνην δεκατεύων εἰς μὲν λόγους καὶ σύνεσιν ἄριστος, χάριν δὲ ὄχλου καὶ πλήθους λυπεῖ. εἰ δὲ καὶ κακοποιὸς ἔτι τὸν Ἑρμῆν
20 καθυπερτερεῖ, διά τινα γραπτὰ συνοχῶν καὶ δεσμῶν πειραθήσεται.

Ἑρμῆς τὴν Σελήνην διαμετρῶν ἐκ πλήθους στάσεις ἐγείρει καὶ ταραχὰς καὶ βοάς· αὐτοὺς δὲ δειλοὺς εἶναί φησι καὶ ἀθαρσεῖς.

Περὶ τῆς Σελήνης.

Ἡ δὲ Σελήνη αἰτία σωμάτων συστάσεως καὶ τοῦ αἰσθητικοῦ μέρους
25 τῆς ψυχῆς κυρία· σημαίνει δὲ ζωὴν, σύλληψιν, μητέρα, μορφὴν καὶ διάπλασιν σώματος, συμβίωσιν, οἰκουρίαν, πόλιν, δέσποιναν, χρήματα, λήμματα, ἀναλώματα, πλοῖον, οἰκίαν, ξενιτείαν, πλάνην, ὄχλων συστροφήν. τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει γεύσεως, καταπόσεως, στομάχου, κοιλίας, μήτρας, ὀφθαλμοῦ ἀριστεροῦ καὶ τῶν εὐωνύμων
30 πάντων· κατὰ δὲ Οὐάλεντα μαζῶν, σπληνός, ὅθεν καὶ ὑδρωπικοὺς ποιεῖ. οὐσίας δὲ κυριεύει ἀργύρου.

(F.191.) Σελήνη τὸν Ἄρεα δεκατεύουσα δύσκλειαν τῇ μητρὶ καὶ βίου σπάνιν, τῷ δὲ πλάνας καὶ τύχης καθαίρεσιν.

Σελήνη τὴν Ἀφροδίτην δεκατεύουσα εὐπορίαν μὲν δώσει, βλάπτει δὲ
35 τοὺς ἄνδρας ἐκ θηλυκῶν προσώπων ἀεί, ταῖς δὲ ψόγον ἐπιφέρει.

1 = Valens supra p. 92, 3. 3 ἑκτάσσεις M. 5 e Valente supra p. 92, 5. 6-9 ordinem turbant, nec scio unde hauserit. 6 an Διὶ <ἢ>? 10-14 cf. Firm. f. 132, cod. Neap. 10 Ἡ] ὁ M. 15-17 loco insolito, et om. Firm. suo iure; numquam enim Sol et Mercurius ex quadrato se vident (cf. ad Firm. 130, 12). 18 omisit Mercurii et Lunae trigonum, habet Firm. 69r *b*. 18-20 = Firm. 72r *b*. 19 ἔτι] an τις? 21 sq. = Firm. 74v *a*. 21 στάσεως M. 24-28 = Valens supra p. 89, 7. 25 μορφῶν M. 27 λείμματα M. 28-30 ex Ptol. 38v, 3. 30 sq. Cf. supra p. 89, 13. 32 sq. = Firm. 71v *b*. 33 an αὐτῷ δὲ? 34 sq. cf. Firm. 72r *a*.

Digitized by Google

Σελήνη τὸν Ἑρμῆν δεκατεύουσα κούφους ἐν τοῖς βουλεύμασιν, οὐδὲν εὐσταθὲς ἐννοοῦντας· διὸ καὶ οἱ βουλόμενοι, ὅπου ἂν βούλωνται, τούτους περιστρέφουσιν.

<Τ>ὰ δὲ ἑξάγωνα τῶν ἀστέρων ἰσοδυναμοῖ μὲν τοῖς τριγώνοις, ἐπὶ τὸ ἀμαυρότερον δέ· αἱ δὲ συμπαρουσίαι τῶν ἀστέρων, ἀλλὰ καὶ τὰ λοιπὰ σχήματα, ἐξαιρέτως ἐπὶ τῶν κέντρων καὶ ἐπαναφορῶν καὶ τοῦ κλήρου τῆς τύχης ἰσχύουσιν. 5

<ξη'>. Περὶ σχηματισμῶν κατὰ πλείους.

Haec paene ad verbum ex Vettio Valente descripta sunt. Itaque visum est varias lectiones huius codicis 334 ad Valentis textum adnotare (p. ss.). Desinit f. 194r ... καὶ τὰ τῆς τύχης καὶ τῆς πράξεως προλέγειν. 10

1-3 = Firm. 72r *b*. 4-7 = Firm. 74v *a*.

Digitized by Google

EXCERPTA EX CODICE 7 (Marc. cccxxxv)

Stephani philosophi de arte mathematica.

Haec Stephani excerpta in primis nobis digna visa sunt quae ederentur, cum nos doceant quemadmodum astrologia a christianis diu neglecta, immo damnata, Constantinopoli instaurata ac renovata sit. Nam " beata urbs quae in medio quinto climate sita est „ Byzantium esse nemo est qui neget (cf. Martian. Capell., VIII, 876). Ex ipsius libelli verbis aetas, qua ortus sit, accuratius definiri posse videtur; scilicet eum multo post Mahommedanae sectae exortum (p. 182, v. 19, τοῖς Σαρακηνικοῖς ἔτεσι), cum " Agarenorum „ sive Arabum imperium iam labefactum erat (p. 182, v. 31) scriptum esse apparet. Quae ineunti saeculo VIII optime conveniunt, cum Leo Isaurus (717-741) Arabes ex Asia Minore eiecit atque Ommiadarum domus eversa est. Eo autem ipso tempore astronomica studia Byzanti revixisse aliunde scimus (Boll, *Sitzungsb. Akad. München*, 1899, p. 105). Verba quoque (p. 182, v. 13) ὡς καὶ πέντε μοίρας παραλλάττειν in argumentum advocari posse me monuit Fr. Boll, e quibus verbis apparet a tempore scriptoris usque ad Ptolemaei quinque fere saecula numeranda esse vel certe scriptorem credidisse Ptolemaeum circa quingentos annos ante se ipsum floruisse. Certe auctor huius opusculi Stephanus Alexandrinus esse non potest, qui ineunte saeculo septimo scientias omnes Constantinopoli professus est. Attamen non crediderim haec falsario tribuenda esse — totus enim orationis color fiduciam inicit — quamvis anno 775 prophetia de fine Mohammedanorum Stephano illi supposita sit (Usener, *De Stephano Alexandrino*, p. 13), sed potius " Stephanum philosophum „, qui haec composuit, ab altero diversum esse. Ipse nos certiores facit (p. 182, v. 2) se ex Persia, ubi et ante et post dominationem Arabum astrologia semper viguit, hanc artem Romanis attulisse vel potius rettulisse. F. C.

F. 25r. ζ'. Τοῦ Στεφάνου φιλοσόφου περὶ τῆς μαθηματικῆς τέχνης καὶ περὶ τῶν χρησαμένων ἐθνῶν ταύτῃ· πρὸς τοὺς λέγοντας ἐφάμαρτον εἶναι αὐτήν· περὶ τοῦ ὅτι ἁμαρτάνει ὁ ταύτην μὴ προσδεχόμενος· περὶ τοῦ χρησίμου αὐτῆς· καὶ περὶ τοῦ ὅτι πασῶν ἐστι τιμιωτέρα τῶν τεχνῶν.

Περὶ τῆς μαθηματικῆς τέχνης.

Ἐπειδήπερ ἡ τοῦ καιροῦ φορὰ καὶ τὸ τοῦ χρόνου παλίμβολόν τινα μὲν ἐνιότε τῶν μαθημάτων παρεισάγουσι, τινὰ δὲ καὶ παντελεῖ λήθῃ

Caput primum descripsi ego, reliqua accepi a v. d. Daniel Riccoboni.

Digitized by Google

Digitized by Google

σάρκες καὶ ἡ τοῦ λύκου κόπρος καὶ τὸ ἐλατήριον καὶ ἡ ἀσκαμμωνία καὶ ἡ ἐντεριώνη — ταῦτα γὰρ λόγῳ μὲν ἰατρικῷ προσφερόμενα τὰ μέγιστα λυσιτελεῖ, κατὰ δὲ ἄλλον λυμαντικὰ καὶ φθοροποιὰ γίγνεται — οὕτω δὴ καὶ ἡ ἀστρονομία εὐσεβεῖ λογισμῷ λαμβανομένη πρὸς κατάληψιν
5 τῶν (f. 26r) οὐρανίων κινήσεων καὶ θέσεων καὶ τῶν σχηματισμῶν, ἔτι δὲ καὶ τῶν μελλόντων ἐπισυμβαίνειν ἀγαθῶν ἢ φαύλων, πρὸς δοξολογίαν αἴρει τοῦ δημιουργοῦ καὶ τὸν νοῦν ταῖς θείαις θεωρίαις ἀναπτεροῖ πρὸς τὴν ἄνω λαμπρότητα· εἰ δέ τις ταύτῃ χρήσαιτο καθάπερ οἱ Ἕλληνες, δοξάζων θεοὺς εἶναι τὰ οὐράνια σώματα καὶ βλάπτειν ἀφ' ἑαυτῶν καὶ
10 ὠφελεῖν, οὕτος ἀσύγγνωστός ἐστι διὰ τὴν τοιαύτην ἀσέβειαν· οὐ γὰρ αὐτὰ παρ' ἑαυτῶν προήχθησαν ἀλλὰ παρὰ τοῦ σοφοῦ δημιουργοῦ· καὶ ὥσπερ ὁ ὑδρηφόρος τροχὸς οὐκ οἴκοθεν ἔσχε τὴν τοιαύτην κίνησιν, οὐδὲ μάτην ταῦτα ποιεῖται, ἀλλὰ παρὰ τοῦ ἐπιτηδευσαμένου τοῦτο καὶ διὰ τὸ τὸν λειμῶνα ἀρδεύειν, οὕτω δὴ καὶ ταῦτα διὰ τὸ τὰ τῇδε κινεῖν
15 καὶ συμμετατρέπειν παρὰ τῆς θείας ἐδημιουργήθη προνοίας, καὶ ὥσπερ τὸ πῦρ καῖον καὶ φωτίζον τῆς οἰκείας οὐκ αἰσθάνεται ἐνεργείας, οὕτω καὶ ταῦτα ἀλόγως τὰς οἰκείας ἐνεργείας ἀποτελεῖ· ὁ γοῦν τοιαύτην περὶ αὐτῶν ἔχων δόξαν τῆς εὐσεβοῦς τῶν Χριστιανῶν οὐκ ἐκπίπτει πίστεως.

Περὶ τοῦ ὅτι ἁμαρτάνει τὰ μέγιστα ὁ ταύτην μὴ
20 προσδεχόμενος.

Πηγὴ ὢν ὁ θεὸς σοφίας ἐποίησε πρῶτον κατὰ τὸν Μωσέα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν μὲν κέντρου λόγον πρὸς τὸν οὐρανὸν ἔχουσαν, τὸν δὲ πανταχόθεν ἐπίσως ταύτην περιέχοντα καὶ ταῖς ἰδίαις κινήσεσι πανταχόθεν αὐτὴν διεξάγοντα· καὶ δῆλον ἔκ τε τοῦ δύο κινήσεις
25 ἐναντίας αὐτῷ προσπλακῆναι, τὴν μὲν ἐξ ἀνατολῶν ἐπὶ δυσμάς, τὴν δὲ ἀπὸ δυσμῶν ἐπὶ ἀνατολήν, ἤτοι τὴν τῶν ἀστέρων, καὶ ἐκ τοῦ εἶναι ἐν αὐτῷ δύο μὲν φωστῆρας μεγάλους καὶ ἀστέρας πλάνητας καὶ ἑτέρους ἀπλανεῖς καὶ πάλιν τῶν πλανήτων τοὺς μὲν βραδυκινήτους, τοὺς δὲ ταχυκινήτους, καὶ ἀναποδισμοὺς ἐν αὐτοῖς ὁρᾶσθαι καὶ προποδισμούς·
30 καὶ στηριγμοὺς καὶ φάσεις ἑῴας τε καὶ ἑσπερίας καὶ σχηματισμοὺς διαφόρους πρὸς ἀλλήλους καὶ συνόδους· δι' ὧν ἐν γενέσει καὶ φθορᾷ οὗτος ὁ κόσμος διεξάγει καὶ τὰ ζῷα γεννᾶται καὶ τὰ φυτὰ φύεται καὶ οἱ καιροὶ ἀλλοιοῦνται καὶ οἱ ὄμβροι κατάγονται καὶ αἱ βασιλεῖαι ἐγείρονται καὶ οἱ πόλεμοι ἀνάπτονται. εἰ δέ τις τὰς τούτων ἐνεργείας ἀνατρέπειν
35 ἐπιχειρήσαι, εὐθὺς τῆς τοῦ θεοῦ σοφίας ἀρνητὴς γίνεται. ταὐτὸ γάρ ἐστι τούτῳ τὸ λέγειν ταῦτα μάτην παρὰ τοῦ θείου λόγου προῆχθαι. ὁ δὲ τὴν τοῦ θεοῦ σοφίαν ἀρνούμενος βλασφημεῖ κατὰ τοῦ ἁγίου Πνεύματος· ὁ δὲ κατὰ τούτου βλασφημῶν ἀσύγγνωστον ἔχει τὸ ἁμάρτημα,

1 ἀσκαμμονία cod. Forma tritior est σκαμμωνία. 2 ἐντεριον' cod. 4 οὕτω δὲ cod., cf. infra, v. 14. 10 εὐσέβειαν cod., corr. 11 προήχθησε cod. 12 ὑδριφόρος cod. 30 στηρισμοὺς cod., corr. 38 ἀσύγγνωτον cod., cf. v. 10.

Digitized by Google

ὡς ὁ Χριστὸς ἐν τῷ θείῳ εὐαγγελίῳ φησί, ὥστε ταύτην τὴν ἐπιστήμην ἀνατρέπων ἁμαρτάνει τὰ μέγιστα.

(F. 26v). Πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ καὶ πᾶσα τέχνη πρακτικὴ ἑαυτῇ μόνη καθυπηρετεῖ καὶ πρὸς ἑαυτὴν ἐπιστρέφεται, κἂν μικρόν τι κοινωνήσῃ ἐπιστήμαις ἑτέραις τισί. ἡ δέ γε τῆς ἀστρονομίας λυσιτέλεια διὰ πασῶν διήκει τῶν ἐπιστημῶν, καὶ τοῦτο αὐτῆς ἀξιολογώτατον τὸ μηδεμιᾶς ἐπιδέεσθαι, πασῶν αὐτῆς ἐπιδεομένων καὶ ὡς κυρίαν προσιεμένων, καθὼς ἐν τοῖς ὄπισθεν ἀποδειχθήσεται· καιρόν τε γὰρ ἐμπράκτων καὶ ἀπράκτων ἡμερῶν καὶ ὡρῶν διαλαμβάνει, καὶ κλίματα τῆς οἰκουμένης ὡς ὑπόκεινται, καὶ ὡς ἑκάστῳ ζῳδίῳ ἔθνος καὶ χώρα ἀπομεμέρισται, δεῖπνα τε καὶ θέας καὶ πανηγύρεις καὶ δωρεὰς ὁπότε δεῖ ποιεῖν ἐπιτάττει, ἔτι δὲ καὶ περὶ δραπετῶν τοῖς δεσμοῖς ἐμπιπτόντων καὶ βιωτικῶν πραγμάτων καὶ γεωργικῶν καὶ μετοικισμῶν καὶ οἰκοδομιῶν καὶ γάμων διαλαμβάνει, καὶ ἐν οἷς δεῖ καιροῖς πολιτικὰ πράγματα πράττειν καὶ ἐχθροῖς ἐπιτίθεσθαι καὶ κριτήρια συνιστάναι καὶ δημόσια καὶ ἀποδημίας ἐργάζεσθαι καὶ παρόδους, καὶ τῶν ἀρχομένων ἀσθενειῶν πρὸς δὲ καὶ χειρουργιῶν ἀρρώστων † πρὸ τῆς τροφῆς καὶ φαρμάκων συνθέσεως καὶ ὀνείρων καὶ βασιλέων στρατείας καὶ στρατοῦ ἐξελεύσεως καὶ στρατηγῶν, καὶ ἀλλοφύλων διάγνωσιν· ἔτι δὲ καὶ πρὸς τὰς ἐπιδιδομένας ἔξωθεν ἐπιστολὰς καὶ ἀναφερομένας καὶ ἀνὰ μέρος ἐπιστελλομένας λυσιτελεῖ. οὐδὲν δὲ ἧσσον καὶ δι' αὐτῆς ῥᾷον ἐπιγινώσκεσθαι τούς τε κατασκόπους καὶ ἐπιβούλους καὶ καρπῶν εὐθηνίας τε καὶ ἀφορίας καὶ ἔτους καλλονὴν καὶ κακότητα προσέχοντι τῷ ὡροσκόπῳ ἀκολούθως τῇ τῆς τέχνης μεθόδῳ.

Περὶ τοῦ ὅτι πασῶν τιμιωτέρα τεχνῶν.

Ἐπειδὴ τῶν μελλόντων συνέβη τὴν πρόγνωσιν πάντων εἶναι τιμιωτέραν, ταῦτα ἑαυτῷ προαφώρισεν ὁ τῶν πάντων δημιουργός, καὶ πάντα τῷ μικρῷ τούτῳ κόσμῳ τὰ ἀγαθὰ ἀπονείμας μόνης αὐτῷ ταύτης οὐ μεταδέδωκεν, εἰ μή γε πρότερον ἢ πράξει καθαιρόμενον ταύτης ἀξιωθῆναι φωτισμῷ τοῦ παναγίου Πνεύματος, καθάπερ οἱ θεῖοι προφῆται τὸ πάλαι τε καὶ ἀπόστολοι, ἢ καὶ πολλῷ ἱδρῶτι καὶ μόχθῳ τοῖς μαθήμασι προσκαρτερήσαντας ταύτην σκέπτεσθαι ἀμυδρῶς. διὰ γὰρ τὸ ἡδὺ καὶ μετέωρον αὐτῆς πάσῃ τῇ τοῦ βίου τρυφῇ χαίρειν οἱ πλεῖστοι τῶν παλαιῶν εἰπόντες, διετέλουν ἐπιτηροῦντες τὸν ἅπαντα χρόνον τῆς αὐτῶν βιοτῆς τάς τε τῶν ἀστέρων κινήσεις καὶ τοὺς πρὸς ἀλλήλους σχηματισμοὺς αὐτῶν ἄχρι τῆς ἐνδελεχοῦς αὐτῶν ἐπισκέψεως,

1 cf. Matth. 12, 31; Luc. 12, 10. 5 ss. cf. Ptol., *Synt.*, p. 7, 4 ss. Heiberg. κοινωνήσει cod. 8 κυρία cod. ἐμπροσθεν cod. 10 κλιμάτων cod. 14 μηδικισμῶν apographum praebet. 18 πρὸ τῆς τροφῆς verba corrupta : <περὶ> τῶν ἀρχομένων... περὶ τῆς τροφῆς... διαγνώσεως coni. Bidez. 19 l. στρατηγιῶν? 27 προσαφώρισεν cod.; corr. Boll. 32 προσκαρτερήσαντες cod. ταύτης κάπτεσθαι praebet apogr.

Digitized by Google

<καὶ> (f. 27r) μέρους τινὸς καθίκοντο τῆς προγνώσεως· φανερὸν οὖν ἐκ τῶν τοιούτων ὡς ἄρα πασῶν τῶν τεχνῶν τιμιωτέρα ἡ ἀστρονομία, εἴγε ταύτης, ὡς εἴρηται, τὸ τέλος τὸ θεῖον ἐσφετερίσατο.

Ἔστι δὲ καὶ ἑτέρως ἀποδεῖξαι τὸ αὐτὸ τοῦτο συλλογισμῷ τινι χρω-
5 μένους. ἔστι δὲ οὕτως· πάσης ἐπιστήμης τὸ μέγεθος ἐκ τοῦ ὑποκειμένου τε ταύτῃ χαρακτηρίζεται καὶ τέλους· ἢ τοίνυν τό τε ὑποκείμενον καὶ τὸ τέλος τῶν λοιπῶν ὑπερέχει, τιμιωτέρα ἂν αὕτη εἴη ἁπασῶν· τῇ δέ γε ἀστρονομίᾳ ἥ τε οὐρανία ἀψὶς καὶ οἱ ἀστέρες ὑπόκεινται, ἅτινα πάντων ὑπερέχει, οἷα καὶ κρείττονος εὐμοιρήσαντα τάξεως καὶ τῶν
10 ὑλικῶν κεχωρισμένα, τῇ πρώτῃ προσεγγίζοντα αἰτίᾳ· καὶ τέλος αὐτῆς, ὡς ἀποδέδεικται, τὸ πάντων μετεωρότερον· τιμιωτέρα οὖν ἔσται τῶν λοιπῶν ἁπασῶν ἐπιστημῶν, ὅπερ ἔδει δεῖξαι.

Περὶ τοῦ ὅτι οὐκ αὐτεξουσίᾳ οἱ ἀστέρες ἐνεργοῦσιν, ἀλλ' ἀπὸ τῆς τοῦ δημιουργοῦ δυνάμεως.

15 Ἄπλωσον, ἄνερ, εἰς κτίσιν τὴν σὴν διάνοιαν καὶ βλέπε τὰ αἰσθητὰ τοῦ θεοῦ πλάσματα καὶ νόησον ἕνα ἕκαστον κατὰ λόγον· ὅταν οὖν ἀκούῃς τὰ ὀνόματα τῶν ζῳδίων καὶ πλανήτων καὶ τὰς γεγραμμένας περὶ αὐτῶν ἐνεργείας, μὴ νόμισον ὅτι ἔμψυχά ἐστιν ἢ αἴσθησιν ἔχοντα ἢ ποιηταὶ τῶν ὄντων, καθώς τινες ἐφαντάσθησαν πλανώμενοι· οὐκ εἰσὶ
20 γὰρ ποιηταὶ ἀλλὰ ποιήματα τοῦ μονάρχου ἀνάρχου καὶ τρισυποστάτου Θεοῦ. ἔκτισεν οὖν αὐτὰ εἰς δοξολογίαν αὐτοῦ καὶ ἔθηκεν αὐτὰ σημεῖα εἰς ὠφέλειαν τοῖς ἀνθρώποις ὥσπερ τὰ λοιπὰ στοιχεῖα τὰ ὄντα ἐπὶ τῆς γῆς, ἤτοι ἀέρα, πῦρ, ὕδωρ καὶ τὰ διάφορα φυτά, εἰς ὠφέλειαν καὶ ἐνέργειαν τῶν ζῴων, ἑαυτὰ μὴ ὠφελοῦντα, οὔθ' ἑαυτὰ αἰσθανόμενα.
25 ὥσπερ γὰρ τὰ ἡμέτερα αἰσθητήρια εὐεργοῦσιν ἄλληλα καὶ ἑαυτὰ οὐ δύνανται ὠφελῆσαι, ἐπειδὴ τὸ οὖς ἀκούει λόγους καὶ φωνὰς καὶ ἐπιτρέπει τὴν γλῶτταν λαλῆσαι καὶ αὐτὸ λαλῆσαι οὐ δύναται — ἐκ γὰρ τῆς ἀκοῆς λαλεῖ ἡ γλῶττα, οὐδέποτε δὲ ὁ ἐκ γενετῆς κωφὸς ἐλάλησεν — ὡσαύτως καὶ ὁ ὀφθαλμὸς βλέπει τὰ χρώματα καὶ τὰ σχήματα, καὶ δια-
30 κρίνει τὰ ὄντα ὡς ὄντα, ἀλλ' ἑαυτὸν οὐ βλέπει, ὡσαύτως καὶ ἡ ῥὶν τὰ τῆς εὐωδίας καὶ δυσωδίας αἰσθάνεται καὶ διακρίνει αὐτά, καὶ τὰ οἰκεῖα οὐκ αἰσθάνεται, — τίς εἶδε τὸν ἑαυτοῦ ὀφθαλμὸν ἢ τίς ὠσφρήσατο τοῦ ἑαυτοῦ στόματος ἢ ῥινὸς τῆς δυσωδίας οὐδαμῶς; (f. 27v) — οὕτω καὶ οἱ προειρημένοι ἀστέρες ἐκτίσθησαν εἰς οἰκονομίαν καὶ ὠφέλειαν τῶν ζῴων
35 ὑπομιμνήσκοντες τὰ παρελθόντα καὶ ἑρμηνεύοντες τὰ ἐνεστῶτα καὶ προμηνύοντες τὰ μέλλοντα, κατὰ τὸ πρόσταγμα τοῦ πανσόφου δημιουργοῦ.

1 καὶ suppl. καθήκοντο cod. φανερῶς cod. 8-10 ἅτινα... αἰτίᾳ. Cf. Ptol., *Synt.*, p. 7, 6, Heiberg (Boll). μετεωρότερον] cf. supra, p. 184, 25 : πασῶν τιμιωτέρα etc. 13 ss. Extrema capitula in titulum non recepta sunt, attamen ea eiusdem esse auctoris non dubium est. 20 τρισυποστάτου vix sanum. 24 ἑαυτὰ (alt.) corr. : αὐτὰ cod. 25 legendum εὐεργετοῦσιν? 27 αὐτὸς cod. 28 γενητῆς cod. 32 ὀσφρήσατο cod.

Digitized by Google

Περὶ τοῦ ὅτι στοχασμός ἐστιν ἔντεχνος ἡ διὰ ἰατρικῆς καὶ ἀστρονομίας πρόγνωσις.

Ἡ διὰ ἰατρικῆς τε καὶ ἀστρολογίας πρόγνωσις στοχασμός ἐστιν ἔντεχνος. διὸ δεῖ τὸν φιλαλήθη ἄνδρα τοῦτο γινώσκοντα ἀνθρωπίνως καὶ μετρίως καὶ ἐστοχασμένως καί, ὡς εἰπεῖν, διχθὰ φρονέοντα προλέγειν τά τε ἰατρικὰ καὶ τὰ ἀστρονομικὰ συμπτώματα. οὐδὲ γὰρ ἐπὶ τῇ ἀστρολογίᾳ ἔστι τὸ πᾶν ἐφοδιάζειν τῆς προγνώσεως, οὐδὲ γὰρ μόνη ἡ τῶν ἀστέρων κίνησις αἰτία <τῆς> τῶν ἀνθρωπίνων συμπτωμάτων ἀλλοιώσεως, ἀλλὰ καὶ ἔθη καὶ νόμοι καὶ τόποι καὶ παίδευσις καὶ πρόνοια καὶ προσευχὴ πρὸς θεὸν καὶ προφητικὴ τῶν μελλόντων, ὥσπερ οὐδ' ἐπὶ τῇ ἰατρικῇ ἔστι τὸ πᾶν ἐφοδιάζειν τῆς τῶν σωμάτων ἀλλοιώσεως· εἰσὶ γάρ τινα καὶ ἰατρικῆς κρείττονα αἴτια ἀλλοιοῦντα ἡμᾶς, ἅπερ ἀγνοεῖ ὁ ἰατρός, οἷον τὰ οὐράνια· οὕτως οὖν καὶ περὶ τὴν τῶν ἀστέρων κίνησιν εἰσὶ τινὰ αἴτια τὰ ἀλλοιοῦντα. F. C.

F. 112ᵛ. ριδ'. Περὶ σποραῶν ἐκ τῶν Ῥητορίου[1].

Τοῦ ζῳδιακοῦ κύκλου εἰς τξ' μοίρας διῃρημένου καὶ τὴν ἀρχὴν λαμβάνοντος ἀπὸ τῆς ὡροσκοπικῆς μοίρας ἐπὶ τὰ προηγούμενα ἀνίσταται τρίγωνον ὀρθογώνιον· ὧν ἡ μὲν πρώτη ἡ ὑπὲρ γῆν πλευρά ἐστιν ἡ τὴν ἀρχὴν ὑποτείνουσα μοίρας ρν', ἡ δὲ γ' ἡ ὑπὸ γῆν, ἀπὸ τῆς τοῦ ὡροσκόπου μοίρας, ἀρχὴ ἡ βάσις, μοίρας ϛ'· ἡ δὲ β' ἡ κάθετος περὶ τὰ δυσμικὰ μέρη μοίρας ρκ'· γινώσκεται δὲ ἐκ τῶν τόπων τούτων καὶ τῆς προγενομένης πρὸ τῆς ἐκτροπῆς συνόδου καὶ αὐτῆς τῆς συνόδου τοῦ ὡροσκόπου· καὶ αὐτὴ δὲ ἡ σύνοδος εἰ ἐν τῷ ὑπεργείῳ πέσῃ, τουτέστιν ἐν ταῖς ρν' μοίραις τοῦ ὡροσκόπου τῆς ὑποτεινούσης τὴν ὀρθήν, θ' μηνῶν ἔσται τὸ τεχθέν· κἂν ὁ μὲν αὐτῶν τόπος ἐν τῇ α' πλευρᾷ πέσῃ, ὁ δὲ ἐν τῇ δευτέρᾳ ὁ τυχών· ἐὰν δὲ ἄμφω ἐν τῇ δευτέρᾳ πλευρᾷ πέσωσιν ἢ ὁ ἕτερος † οἷος τύχῃ ἐν τῇ β', ὁ δὲ ἕτερος ἐν τῇ γ', ἑπτάμηνον ἔσται· ἐὰν δὲ ἤτοι ἄμφω οἱ τόποι ἐν τῇ γ' πλευρᾷ πέσωσιν, ἢ ὁ ἕτερος ἐν τῇ α', τοῦ

V. 4-7 ἀνθρωπίνως... προγνώσεως. Res et verba ex Ptol., *Tetrab.*, p. 5ᵛ, 10-15 (Boll). 6 τε τὰ cod. 8 τῆς suppl. 9 ἔθη κτλ. Cf. Ptol., l. c., p. 4ᵛ, 31 ss. 15 Marcianum 335 (A) descripsit Olivieri, Parisinum 2506, f. 23 (B) contulit Cumont; cf. Procl. in remp. II, 60, 13, ed. Kroll. 17 ἀπὸ τοῦ ὡρ(οσκόπου) μοί(ρας) B. 18 α' καὶ ὑπὸ γῆν (καὶ compendio) codd. 19 μοιρῶν ρν', l. 20 μοιρῶν ϛ' et l. 21 μοιρῶν ρκ' coni. Kroll. τοῦ ante ὡρ. om. B. 20 ἀρχῆς ἢ βάσεως A. 21 καὶ αὐτὴ ἡ προγενομένη A. 22 καὶ αὐτὴ ἡ σύνοδος A. 23 ἡ om. B. τῇ ρν' μοίρᾳ A. 24 An καὶ τοῦ ὡροσκόπου? 24 ταῖς ὑποτεινούσαις ut vid. A.

[1] De Rhetorio, cf. *Catal. Flor.*, p. 140 ss.

Digitized by Google

ἑτέρου ἐν τῇ γ' ὄντος, τέρας ἔσται ἡ θηρίον ἢ ἀλλόκοτόν τι. ἔχοντες οὖν ἐκ τούτων κανόνας τῆς τῶν ζ' μηνῶν καὶ θ' μηνῶν ἐκτροπῆς, ἑξῆς καὶ τὴν ἡμέραν καὶ ὥραν δεῖ ζητεῖν τῆς συλλήψεως. Α. Ο.

F. 113. ριε'. Περὶ γονέων [1].

Τὰ μὲν περὶ πατρὸς ἀπὸ Ἡλίου καὶ Κρόνου καὶ τοῦ σχήματος τοῦ κλήρου τοῦ πατρός· τὰ δὲ περὶ μητρὸς ἀπὸ Σελήνης καὶ Ἀφροδίτης καὶ τοῦ κλήρου τῆς μητρός, ἐξαιρέτως δὲ ἡμέρας μὲν ἀπὸ Ἡλίου καὶ Ἀφροδίτης, νυκτὸς δὲ ἀπὸ Κρόνου καὶ Σελήνης καὶ τῶν κλήρων· ζήτει δὲ καὶ τοὺς οἰκοδεσπότας αὐτοῦ καὶ τριγωνοδεσπότας καὶ ὁριοκράτορας, ἀπὸ γὰρ τούτων τῶν κεφαλαίων γνωσθήσονται οἱ γονεῖς καὶ τὰ πάθη καὶ ὁ βίος καὶ ὁ χρόνος τῆς ζωῆς καὶ κίνδυνοι καὶ τέχναι καὶ γένος καὶ κτήσεις καὶ ἁπλῶς τὰ κατὰ τοὺς γονεῖς πάντα οὕτω· διέκβαλον οὖν καὶ Σκορπίον τοὺς ἐπιθεωροῦντάς τε καὶ τὰς παραδόσεις καὶ παραλείψεις τῶν ἀστέρων, καθὼς Οὐάλης ἐν τῷ δ' βιβλίῳ, καὶ τῆς ἐπιμερισμένης τοῦ κλήρου τῆς τύχης καὶ τοῦ δαίμονος, καθὼς Οὐάλης. ὅσοι ἔχουσι τὸν Ἥλιον ὁρίοις Ἄρεως ἐπὶ ἡμέρας, ἐπὶ δὲ νυκτὸς ὁρίοις τοῦ Κρόνου, συνεπιμαρτυρούντων Κρόνου καὶ Ἄρεως κατὰ τετράγωνον ἢ διάμετρον, δίχα Διὸς ἢ Ἀφροδίτης, πατροκτόνοι γίνονται ἢ πατραλοῖαι· εἰ δὲ τὴν Σελήνην ἀστέρα εὕρῃς, μητροκτόνοι. ὅσοι ἔχουσι τὸν κλῆρον οὕτινος οὖν τῶν γονέων ἐν τῷ ιβ' ἢ τὸν κύριον τοῦ κλήρου, ἐχθροὶ τῶν γονέων γίνονται· ὁ Ἥλιος ἐπίκεντρος Ἄρην διαμετρῶν ἐχθροὺς ποιεῖ τοὺς γονεῖς πρὸς τὰ τέκνα· ἐὰν ὁ Ζεὺς καθυπερτερήσῃ τὸν Κρόνον, ἀσύμφωνοι οἱ γονεῖς τοῖς παισὶ γίνονται· εἰ δὲ Κρόνος τὸν Δία, σύμφωνοι· εἰ διαμετρεῖ, στασιώδεις γίνονται πρὸς τοὺς γονεῖς, εἰ δὲ τρίγωνίζει, φίλοι. ζήτει δὲ καὶ τὰς τῶν φώτων δυσφορίας, ἐπὶ μὲν Ἡλίου τὰς ἑῴους, ἐπὶ δὲ Σελήνης, τὰς ἑσπερίους ἀλλὰ καὶ τὰς ἐμπεριοχὰς τῶν φώτων· ἐὰν δὲ παραιρέται δορυφορῶσι τὰ φῶτα οὐκέτι τὴν αὐτὴν εὐτυχίαν ἕξουσι οἱ γονεῖς, μάλιστα δὲ ἐὰν Ἄρης ἐπαναφέρηται τῷ Ἡλίῳ, Κρόνος δὲ τῇ Σελήνῃ.

Πάντοτε ζητῶν τοὺς χρόνους τῶν γονέων τὰ ἔτη διέκβαλλε τοῦ παιδὸς ἀπὸ τοῦ κλήρου τῶν γονέων, καὶ βλέπε τοὺς ἐπιθεωροῦντας

1 θηρίων A. 2 ἐξ ἧς A. 4 Marcianum 335 (A) descripsit Olivieri; Parisinum 2506, f. 23r (B) contulit Cumont. 5 σχήματος A : διαμέτρ(ου) B. 9 τρίγωνον δεσπότην καὶ ὁριοκράτορα A. 12 κατὰ superscr. B. διέκβαλλον A. καὶ omis. B. 13 σκορπίον : σκόπει coni. Kroll. παραλήψεις A quod comprobat Kroll. 14 δ' ex β' corr. B. ἐπιμερισμένης ut vid. B : τοὺς ἐπιμερισμοὺς coni. Kroll. 16 νυκτὸς ὁρίοις τοῦ Ἄρεως καὶ Κρόνου B. 18 πατραλλοῖαι codd. 19 ἀστέρα omis. B (ἀστέρα ineptum; corr. ἐπίκεντρον? Kroll). Post μητροκτόνοι spatium quinque litt. B. 20 ἢ τὸν κύριον τοῦ κλήρου post γίνονται transtulit B. Secludenda? 21 ἐχθροὺς ποιοῦσι cod. 24 εἰ δὲ corr.; οἱ δὲ B : οἱ A. 25 δορυφορίας coni. Kroll.

[1] Doctrinam in capit. sequentibus a byzantino auctore expositam cum Hephaestion., II, 4-6 conferre possis.

Digitized by Google

κατὰ πῆξιν ἢ κατὰ πάροδον καὶ ἀπὸ τούτου λέγε τοῦ πατρὸς τὸν ἐνιαυτὸν ἢ τῆς μητρός. ζήτει δὲ καὶ τοὺς περιπάτους Ἡλίου καὶ Σελήνης πρὸς τοὺς κακοποιοὺς ἢ ἀγαθοποιοὺς κατὰ τοὺς κανόνας καὶ τὰς ἀναφορὰς Οὐάλεντος· ζήτει δὲ καὶ τὰς περιόδους καὶ τὰς ἀποκαταστάσεις Ἡλίου καὶ Σελήνης πρὸς τὰς ἀποκαταστάσεις καὶ περιόδους τῶν κακαποιῶν καὶ ἀγαθοποιῶν μετὰ καὶ τῶν ἐπαναφορῶν καὶ τῶν περιόδων καὶ ἀποκαταστάσεων τῶν ζῳδίων πρὸς τὸν Λέοντα (?), Σκορπίον καὶ Παρθένον (?), καθὼς Οὐάλης, μηδέ σε λαθέτω ὅτι ὁ Κριὸς διάμετρός ἐστι πρὸς Παρθένον καὶ Ζυγὸς πρὸς τοὺς Ἰχθύας καὶ Δίδυμοι πρὸς Αἰγόκερω καὶ Καρκίνος πρὸς Τοξότην. οἱ ἀγαθοποιοὶ τὴν προγενομένην συζυγίαν ὁρῶντες ἀγαθὰ τοῖς γονεῦσι δηλοῦσι· τοὐναντίον δὲ σημεῖον ἐκθέσεως καὶ γονέων ἀγενείας· τὸ δ' αὐτὸ γίνεται, κἂν τὴν συναφὴν τῆς Σελήνης ἔχωσιν· ἐλεύθεροι δὲ ὄντες δουλαγωγοῦνται. ὅταν ἡ μὲν σύνοδος ὑπὸ ἀγαθοποιῶν ὁρᾶται, οἱ δὲ ἀγαθοποιοὶ ὑπὸ τῶν κακοποιῶν καθυπερτερῶνται, καὶ αὐτὴ δὲ ἡ Σελήνη ἐὰν ἀπορρεύσασα ἀπὸ τῶν ἀγαθοποιῶν πρὸς τοὺς κακοποιοὺς φέρηται, ἀντὶ ἐλευθερίας ὑποταγὴν ἡ δουλείαν ποιεῖ. ὡς δ' ἐγὼ ἐδοκίμασα, ἡ μὲν σύνοδος καὶ ὁ οἰκοδεσπότης αὐτῆς τὸν πατρικὸν βίον σημαίνει, ἡ δὲ Σελήνη καὶ ὁ οἰκοδεσπότης αὐτῆς τὸν μητρικὸν· πολλάκις γὰρ συμβαίνει τὸν πατέρα εὐγενῆ εἶναι, τὴν δὲ μητέρα δούλην, καίπερ ἀπὸ μιᾶς γίνεται συζυγίας ἡ τούτων διάκρισις. ἐὰν τὸν οἰκοδεσπότην τοῦ Ἡλίου θεωρήσῃ κακοποιός, κακοῖ τὸν πατέρα καὶ τὰ πατρῷα· ἐὰν τῆς Σελήνης, πρὸς τὴν μητέρα τὸ κακόν. εὗρον δὲ παρὰ Ἀντιγόνῳ ὅτι ἡ μὲν σύνοδος ἢ ἡ πανσέληνος τὴν μητέρα σημαίνει, οἱ δὲ τούτων οἰκοδεσπόται τὸν πατέρα. A. O.

F. 113ᵛ. ριζ'. Περὶ προτελευτῆς γονέων.

Σκέπτου τοὺς κλήρους τῶν γονέων πρὸς ποῖον αὐτῶν τῶν κακοποιῶν ἀκτινοβολεῖ πρῶτος κατὰ πῆξιν ἢ πάροδον, κἀκεῖνος προτελευτήσει· βλέπε τίς ἐστι τῶν δύο φώτων εἰς τὸ ὑπὸ γῆν κέντρον ἐν ἀλλοτρίῳ οἴκῳ ἢ τριγώνῳ, κἀκεῖνος προτελευτήσει. πάντοτε Σελήνη μεστὴ ἐν Ἰχθύσι τὸν πατέρα προαναιρεῖ. βλέπε τοὺς οἰκοδεσπότας τῶν κλήρων τῶν γονέων τίς αὐτῶν ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ ἔπεσε, κἀκεῖνος προτελευτήσει· εἰ δ' ἄμφω ἐν ἑνὶ ζῳδίῳ ὦσι, ζήτει τίς αὐτῶν ἐπιφέρεται, ἢ ὕπαυγος γίνεται, κἀκεῖνος προτελευτήσει· εἰ δὲ ἐν ἑνὶ ζῳδίῳ καὶ τῇ

7 Signum Leonis vel Cancri. 8 καὶ ante Παρθένον omis. A. Κριὸς. Signum dubium. Secundum scriptorem byzantinum diametron est signum non quod sextum sed quod quintum a quoque locum obtinet. 10 οἱ omis. B. 11 δὲ omis. B. 14 σύνοδος] σελήνο ⊖ sic cod. 20 δοῦλον A 26 Marcianum 335 (A) descripsit Olivieri; Parisinum 2506, f. 24ᵛ (B) contulit Cumont. 27 αὐτοὶ codd. (delendum? Kroll); corr. 28 προτελευτήσει κἀκεῖνος B. 29 βλέπε ... προτελευτήσει omisit B. 30 δὲ Σελήνη μετὴ (sic) B, de μεσθή dubitat Kroll. 33 ἐπιφέρηται A. 34 γίνηται codd.

Digitized by Google

αὐτῇ μοίρᾳ, γνῶθι τῆς μοίρας ἐκείνης τὸν ὁριοκράτορα, καὶ εἰ ἐν ἀρσενικῷ εἴη ζῳδίῳ, ὁ πατὴρ προτελευτήσει, εἰ δὲ ἐν θηλυκῷ, ἡ μήτηρ. δεήσει οὖν παρατηρεῖν καὶ τοὺς κακοποιοὺς τίνι τῶν κυρίων τῶν κλήρων μαρτυροῦσιν, ἵνα ἀσφαλέστερον γνῷς. ζήτει τὸν Ἥλιον καὶ Κρόνον πῶς κεῖνται, καὶ Ἀφροδίτην καὶ Σελήνην καὶ τίνες αὐτῶν μᾶλλον κακοῦνται, καὶ ἐκ τῆς πλείστης κακώσεως γνώσῃ τὸν προτελευτῶντα· εἰ δὲ πάντες κακωθεῖεν, ὀρφανία ἔσται· οἱ κακοποιοὶ πρὸς τὰ φῶτα διάμετροι ὀλιγοχρονίους τοὺς γονεῖς δηλοῦσιν. ἐὰν Ἥλιος καὶ Κρόνος ἰσόμοιροι ὦσι, τὸν πατέρα προαναιροῦσι καὶ τοὺς προτέρους ἀδελφούς, ποιοῦσι δὲ καὶ κληρονομίας. ὁ Ἥλιος ἐν μοίρᾳ Κρόνου ἐν παντὶ ζῳδίῳ μετὰ κακοποιῶν νεκρὰ ἢ ἐπίσινα δηλοῖ τὰ γεννώμενα καὶ τὸν πατέρα ταχὺ ἀναιρεῖ. ἐὰν δὲ Κρόνος γένηται τῇ Σελήνῃ ἰσόμοιρος, τὴν μητέρα προαναιρεῖ, εἰ δὲ καὶ Ἄρης ἐπιθεωρήσῃ, ποιεῖ τὸν θάνατον ἢ ἀπὸ δυστοκίας ἢ κρυπτῶν ἀσθενειῶν. ἡ Σελήνη κενοδρομοῦσα τὸν πατέρα προαναιρεῖ· ὁ Ἥλιος ἐπὶ τῆς η' μοίρας τοῦ ζῳδίου τὸν πατέρα προαναιρεῖ· Ἄρης ἡμέρας ἐπὶ τὸν σπόριμον Ἥλιον οὐκ ἐᾷ γνῶναι τὸν πατέρα, νυκτὸς δὲ ὀρφανίας ποιεῖ. ταῦτα δὲ καὶ Κρόνος ποιεῖ ἐπὶ τὸν Ἥλιον· ἀλλ' ἡ Σελήνη ἐναλλάξ· εἰ δὲ Ζεὺς καὶ Ἀφροδίτη, εὐγένειαν ἢ πολυχρονιότητα πατρὸς ποιεῖ· Ἄρης ἢ Κρόνος ἐν τῷ ὑπὸ γῆν δ', πατέρα προαναιρεῖ· ὁ Κρόνος οἴκῳ Ἡλίου, ποιεῖ τὸν πατέρα βιοθάνατον ἢ ἐξ ὑγρῶν ὀχλούμενον· Κρόνος οἴκῳ Σελήνης τὰ μητρῷα φθείρει καὶ σωματικὰς ἀσθενείας ποιεῖ καὶ ψυγμούς· Ἄρης οἴκῳ Ἡλίου, πατέρα ὀξέως ἀναιρεῖ ἢ ἐπὶ ξένης ἄγει, σινοῖ δὲ καὶ τὴν ὅρασιν τοῦ τεχθέντος· Ἄρης οἴκῳ Σελήνης ποιεῖ τῇ μητρὶ κινδύνους σωματικοὺς καὶ ὀξυθανασίας· φθείρει δὲ καὶ τὰ μητρῷα καὶ τὸ γεννώμενον σινοῖ περὶ τὸν στόμαχον, καὶ ἢ ὀξυθάνατον ἢ βιαιοθάνατον ποιεῖ. A. O.

F. 114. ριζ'. Περὶ ἀδελφῶν.

Δυσείκαστόν ἐστι καὶ σχεδὸν ἀδύνατον τὸ εἰπεῖν ποσότητα ἀδελφῶν· ἱστορεῖται γὰρ ἡ Ἑκάβη ιθ' παῖδας τετοκέναι, ἡμεῖς δὲ ἐν Βυζαντίῳ κδ' παίδων μητέρα εἴδομεν· καὶ γυναῖκας δέ τινες πολλὰς λαμβάνουσιν καὶ μία γυνὴ πολλοὺς ἄνδρας. δεῖ οὖν ἀσφαλέστερον λέγειν πολυγαμίαν ἢ πολυαδελφίαν ἢ πολυτεκνίαν καὶ τὰ τοιαῦτα· ὅμως δὲ οἱ παλαιοὶ οὐκ ὤκνησαν κατὰ τὸ δυνατὸν καὶ τὸν ἀριθμὸν τῶν ἀδελφῶν λέγειν· διὸ καὶ ἡμεῖς ὡς δυνατὸν ἐγχειροῦμεν λέγειν.

Ἐὰν ὁ κύριος τῆς φιλίας τοῦ κλήρου τὸν κλῆρον τῶν ἀδελφῶν ἐπι-

1 αὐτῇ omis. A. καὶ ante εἰ omis. B. 6 τῆς κακώσεως τοῖς πλεί(οσιν?) γνώσῃ B. 9 ὦσοι A. 10 ἐν omis. B. 11 γενώμενα A. 13 ἐπιθεωρήσει B. 14 δυστυχίας A. 19 l. ὑπὸ τὴν κέντρῳ? (δ' = "quarto loco", glossema? Kroll). 20 ἀναιρεῖ A. 21 καὶ ante σωματικὰς omis. B. 22 Ἄρης B : Κρόνος A. 27 ss. Marcianum 335 (A) descripsit Olivieri ; Paris. 2506, f. 24v (B) contulit Cumont. 28 Δυείκαστον B. 30 ἔδομεν A. τινες πολλοὺς A : τινας πολλὰς B. 34 Post λέγειν spatium IX litt. in B.

Digitized by Google

θεωρῇ, φίλους λέγε τοὺς ἀδελφούς· Ζεὺς Ἀφροδίτη Ἑρμῆς καλῶς κείμενοι, ἀνατολικοί, ἐν μὲν θηλυκῷ ζῳδίῳ θηλείας ἀδελφὰς διδόασιν, ἐν δὲ ἀρσενικοῖς, ἄρρενας καὶ πολυχρονίους· εἰ δὲ παραπέσωσιν ἢ κακωθῶσιν, δώσουσι μέν, ὀλιγοχρονίους δὲ ἢ ἐχθροὺς ἢ σεσινωμένους· μάλιστα δὲ εἰ καὶ ὕπαυγοι εἶεν· ὁ κύριος τοῦ γ' τόπου ὡροσκοπῶν ἢ κεκεντρωμένος εὐγενεῖς δηλοῖ τοὺς γεννηθέντας· ὁ κύριος τοῦ γ' τόπου εἰ μὲν εἴη ἔξαυγος καὶ κείμενος καλῶς, ὑπὸ ἀγαθοποιῶν θεωρούμενος, ἀδελφοὺς παρέχει τῷ τεχθέντι· εἰ δὲ κακοποιὸς αὐτὸν ἴδῃ, ἢ ἀναιρεῖ τοὺς ἀδελφοὺς ἢ ἐπὶ ξένης χωρίζει. Σελήνη συνάπτουσα Κρόνῳ ἢ Ἄρει ἀναιρεῖ μείζονα ἀδελφήν. Ἀφροδίτη ὁρωμένη ὑπὸ Κρόνου ἢ Ἄρεως ἀναιρεῖ ἥττονας ἀδελφάς. A. O.

F. 115. ριη'. Περὶ πράξεως καὶ ἐπιτηδεύματος καὶ τεχνῶν.

Τὸν περὶ πράξεως καὶ ἐπιτηδεύματος λόγον ἀναγκαῖον ὄντα ἐσπούδασα καθυποτάξαι τὴν ἐπιλογὴν ποιησάμενος ἐκ διαφόρων ἀρχαίων πρὸς τὸ ἄπταιστον τῆς ἐπιστήμης, ἀλλ' ἐπαινῶ τὸν Ἀνουβίωνα εἰρηκότα, ἐν πράξει πρῶτον ζήτει τὸ σίνος,

πρὸς γὰρ ἐκείνου
οὔτε τέχνην λαμπρὰν οὔτε τύχην ἔπορε

καὶ ὅτι δεῖ πρῶτον τὸν πρακτικὸν τὸν περὶ σίνους λόγον ἐξετάζειν, ἐπεὶ πῶς οἷόν τε τὸν ποδαγρὸν γενέσθαι δρομέα ἢ τὸν πηρὸν τὴν χεῖρα σκυτέα ἢ τὸν τυφλὸν ῥάπτην; προσκεψάμενοι οὖν τὸν περὶ σίνους λόγον εἰς τὴν τῆς πράξεως ἔλθωμεν ποιότητα· οἱ οὖν τῶν πράξεων δοτῆρές εἰσιν οὗτοι· Ἑρμῆς Ἀφροδίτη Ἄρης, οἱ δὲ πρακτικοὶ τόποι· ὡροσκόπος, μεσουράνημα ὑπόγειον, καὶ αἱ ἐπαναφοραὶ τούτων, ἀλλὰ δὴ καὶ ὁ ς' τόπος καὶ ὁ κλῆρος τῆς τύχης καὶ ἡ συναφὴ τῆς Σελήνης καὶ ὁ πρὸ ἑπτὰ ἡμερῶν ἢ μεθ' ἑπτὰ ἡμερῶν ποιῶν φάσιν ἑῴαν ἢ ἑσπερίαν ἀνατολήν· ἐὰν οὖν τύχωσιν ὅ τε Ἑρμῆς καὶ ἡ Ἀφροδίτη καὶ ὁ Ἄρης ἀπόστροφοι τοῦ μεσουρανήματος καὶ τοῦ ὡροσκόπου, δυσπράκτους ποιοῦσι τοὺς τοιούτους, μάλιστα δὲ εἰ καὶ ὁ κύριος τοῦ μεσουρανήματος τύχοι ἐν ἀλλοτρίῳ ζῳδίῳ, καὶ αὐτὸς γὰρ πράξειν δίδωσιν ἐν τῷ μεσουρανήματι τυχών. φησὶ δὲ καὶ Ἀνουβίων ὅτι δεῖ ζητεῖν τὴν Σελήνην ἀπὸ συνόδου ἢ πανσελήνου πρὸς τίνα φέρεται καὶ πρὸς ἐκεῖνον τὴν πρᾶξιν λέγειν· οἷον εἰ μὲν πρὸς τὴν Ἀφροδίτην, ἀπὸ γυναικῶν τὰς πράξεις ἔχειν, εἰ δὲ πρὸς Δία, εὔπορον καὶ εὐσχήμονα, εἰ δὲ Ἄρην, στρατιωτικόν, εἰ δὲ Ἑρμέα, γραμματικόν, εἰ δὲ Κρόνον, φροντιστήν, ἐπί-

4 δὲ post ὀλιγοχρονίους omis. A. 7 καὶ ante κείμενος omis. A. 12 Marcianum 335 (A) descr. Olivieri; Paris. 2506, f. 24ᵛ (B) contulit Cumont. 14 ἐπιλογὴν B : ἐπιτολὴν A. 19 δεῖ omis. A. 20 τε τῶν B. 23 ἔλθομεν B. οἱ] εἰ codd. : corr. Kroll. 25 αἱ ante ἐπαναφ. omis. B. 31 τύχη B. 36 Ἑρμῆν scribendum putat Kroll.

Digitized by Google

τροπον, οἰκονόμον· καὶ εἰ μὲν ὁ τὴν πρᾶξιν παρέχων τύχοι ἐν ἰδίῳ οἴκῳ, αὐτὸς κατὰ τὴν ἑαυτοῦ φύσιν παρέχει, εἰ δὲ ἐν ἀλλοτρίῳ ζῳδίῳ, συμπαραλαμβάνει καὶ τὸν οἰκοδέκτορα, οἷον ἐὰν ἐν Τοξότῃ ἢ Ἰχθύσι, εὐκλεεῖς καὶ εὐφήμους καὶ εὐφροσύνους τὰς πράξεις ποιοῦσιν. εἰ δὲ ἐν Ταύρῳ, Ὑδροχόῳ, ῥυπαρὰς καὶ ἐπιμόχθους καὶ ἐπονειδίστους· εἰ δ' ἐν Κριῷ, Σκορπίῳ, δι' ὅπλων ἢ πυρὸς ἢ σιδήρου ἢ σκληρότητος ἢ δημοσίων πραγμάτων· εἰ δ' ἐν Ζυγῷ, Ταύρῳ, ὅσα διὰ ποικιλμάτων ἢ εὐωδίας ἢ τὰ τοιαῦτα· εἰ δὲ καὶ Ζεὺς ἐπίδοι τούτοις, ἐν ἱεροῖς ἢ τελειαῖς· εἰ δ' ἐν οἴκῳ Ἑρμοῦ, παιδευτὰς ψήφων, γραμμάτων, παλαίστρας, ἐμπορίας, σταθμοῦ, ζυγοῦ· εἰ δ' ἐν Λέοντι, αὐτοδιδάκτους καὶ αὐτομαθεῖς· εἰ δὲ ἐν νυκτί, τὰς ἐν ἀγοραῖς φανερὰς δίδωσι τέχνας ἢ πυρὸς ἢ σιδήρου καὶ μὲν ἐκ τῆς τοπικῆς διακρίσεως καὶ τῶν ζῳδίων, ἐν οἷς ἂν ὦσιν οἱ τὸ πράττειν παρέχοντες, αἱ κατ' εἴδος ἰδιοτροπίαι συλλαμβάνονται πρὸς τὸ ποικίλον τῆς πράξεως, καθὼς ὁ Πτολεμαῖος διδάσκει. ἔστι δὲ καὶ ἕτερα τοιαῦτα· οἷον ὁ Ἄρης καὶ ὁ Κρόνος καὶ ὁ Ἥλιος ἐν τοῖς πρακτικοῖς ὄντες τόποις, ἐξαιρέτως δὲ ἐν τῷ μεσουρανήματι καὶ ὡροσκόπῳ, ναύτας ποιοῦσιν· Ἑρμῆς ἐν τῷ γ', Ἄρης ἐν τῷ θ' κυνηγούς· Ἄρης καὶ Ἑρμῆς οἴκοις ἢ ὁρίοις Ἀφροδίτης ἰατρούς. Ἄρης καὶ Ἑρμῆς ἐν τῷ ὡροσκόπῳ ἢ μεσουρανήματι, ἀθλητάς, θρασυτόλμους, φιλοπολέμους· Κρόνος τὸ πράσσειν παρέχει· ὁ Κρόνος παρ' αἵρεσιν ἐν ἀλλοτρίῳ ζῳδίῳ ἐν τῷ μεσουρανήματι τὰς δι' ὑγρῶν δίδωσι τέχνας, οἷον ἀντλητάς, κηπουρούς, ἁλιεῖς, ὑδραγωγούς· Κρόνος Ἄρης Σελήνη ἐν τῷ ὡροσκόπῳ ἢ μεσουρανήματι φιλοσόφους, ῥήτορας, ἀστρολόγους· Καρκίνῳ, Σκορπίῳ Ἰχθύσι ὡροσκοποῦντες *** Ζεὺς Κρόνος ὑπὸ γῆν, βοτανολόγους· Κρόνος ὡροσκοπῶν, Ἄρης δυτικὸς κυνηγούς, θηριομάχους ἢ κυνοβρώτους· Κρόνος καὶ Σελήνη δυτικοὶ ἐν καθύγροις τόποις ζῶντας, ναύτας. πλὴν δὲ πάντων χρὴ ζητεῖν τὰ ἀποτελέσματα τῶν συναφῶν καὶ ἀπορροιῶν τῆς Σελήνης καὶ τῶν ζῳδίων καὶ τῶν παρανατελλόντων τὰ δεκανικὰ ἀποτελέσματα, ζητεῖν δὲ καὶ τὸν κλῆρον τῆς πράξεως καὶ τὸν κύριον αὐτοῦ, καὶ οὗτοι γὰρ συμβάλλονται εἰς πρόγνωσιν. Α. Ο.

F. 115. ριθ'. Περὶ τῆς δορυφορίας τῶν ἀστέρων πρὸς τὰ φῶτα.

Ὁ τοῦ Κρόνου ἐπὶ δορυφορίας τυχὼν τοῦ Ἡλίου τὸ ἐπιεικὲς καὶ τυφῶδες καὶ τὸ πατρόθεν εὐδαιμονικὸν καὶ πολυκτῆμον ἀποδείκνυσιν, μάλιστα ἰδιοτοπῶν κατὰ τῆς αἱρέσεως· ὁ δὲ τοῦ Διὸς ἐπὶ δορυφορίας

1 τύχῃ B. 2 συμπαραβάνει (sic) B. 6 Αἰγοκέρῳ Σκορπίῳ ut vid. B. 8 τούτους A. τελειαῖς pro τέλεσιν dictum est (τελεταῖς coni. Kroll). 9 ἐν οἴκῳ A : οἶκος B. 12 καὶ μὲν " vix sanum „ Kroll. 13 συμβάλλονται A. 14 καθὸς A. 15 ὁ ante Κρόνος Ἥλιος omis B. 16 τόποις ὄντες B. 20 παρέχει corr. : παρέχων cod. 22 κηπωρούς A. ὑδραγωγὰς A. 23 ἀστρολώτους A. 24 post ὡροσκοποῦντες lac. significavi. 25 ὡροσκοπῶν omis. A. 27 πλὴν A : πλέον B. 30 οὕτως συμβάλλεται B. 34 πατρῴον A. 35 Verba corrupta μάλιστα ... αἱρέσεως omis. A.

Digitized by Google

τυχὼν τοῦ Ἡλίου τὸ δίκαιον καὶ προσηνὲς καὶ ἀλαζονικὸν καὶ λαμπρὸν καὶ ἡγεμονικὸν καὶ ἐπιτευκτικὸν δηλοῖ, μάλιστα ἡμέρας· ὁ δὲ τοῦ Ἄρεως ἐπὶ δορυφορίας τυχὼν τούτου τὸ ἔπανδρον καὶ τολμηρὸν καὶ θερμὸν καὶ παράβολον καὶ βίαιον καὶ φοβερὸν καὶ ἐξουσιαστικὸν καὶ ἔμπρακτον ἐν τοῖς ἐγχειρουμένοις ποιεῖ καὶ τὸ ἔκπτωτον ἐν τοῖς διαπραττομένοις, μάλιστα ἡμέρας· ὁ δὲ τῆς Ἀφροδίτης ἐπὶ δορυφορίας τυχὼν τοῦ Ἡλίου τὸ ἡδὺ καὶ εὐκλεὲς καὶ ἐπαφρόδιτον καὶ εὐεπήβολον καὶ ἀνενδεὲς καὶ εὔγαμον, μάλιστα νυκτός· ὁ δὲ τοῦ Ἑρμοῦ ἐπὶ δορυφορίας τυχὼν αὐτοκράτορας, ἰσολυμπίους, πεπαιδευμένους, φρονίμους, ἀγχινοῦς, μάλιστα ἑῷος ἀνατολικός· τῶν μέντοι γε δορυφορούντων μὴ ὄντων ἐπικέντρων καὶ οὕτως ἐπὶ βασιλείας ἢ ἀξίας μεγάλας προσάγουσιν, εἰ καὶ ἀποκλίνοιεν μόνον τῶν φώτων ἐπικέντρων ἢ ἐπαναφερομένων, ἀποκλινάντων δὲ τῶν φώτων καὶ μηδ' ἐπαναφερομένων, δορυφορουμένων δέ, κἂν αἱ δορυφορίαι καλαὶ ὦσι καὶ κατὰ τρόπους οὔτε ἐπὶ βασιλείας οὔτε ἐπὶ τυραννίας προάγουσιν, μόνον δὲ ἀξίας ποιοῦσι καὶ φίλους προφανεῖς βασιλέων· δεῖ δὲ ὁρᾶν ἐπὶ τῶν συνοδικῶν γενέσεων τὴν Σελήνην ἀπὸ συνόδου τίνι τρόπῳ πρώτῳ τῶν ἀστέρων τὴν συναφὴν ποιεῖται καὶ κατὰ τὴν τοπικὴν αὐτοῦ στάσιν καὶ τὴν φάσιν καὶ τὸν ἄνεμον ἀποφαίνεσθαι τὰ τῆς τύχης· ἐπὶ δὲ πανσελήνῳ σκόπει τὴν Σελήνην μετὰ τὴν πανσέληνον τίνι τῶν ἀστέρων πρώτην τὴν συναφὴν ποιεῖται, καὶ οὕτως ἀποφαίνεσθαι, καθὼς καὶ Δωρόθεος διδάσκει, λέγων ὅτι· μετὰ τὴν γενετικὴν ἡμέραν ζήτει τις τῶν ἀστέρων πρῶτος κατ' ἐπίβασιν ἔρχεται ἐπὶ τὴν γεννητικὴν Σελήνην καὶ τὸν ὡροσκόπον καὶ πρὸς τὴν φύσιν τῶν ἀστέρων ἀποφαίνει τὰ τῆς τύχης. A. O.

F. 121. ρνε'. Περὶ ἐπιστολῆς ἀναδόσεως ἐκ τῶν Ζωροάστρου[1].

Ἐὰν ἐπιστολὴ ἀναδοθῇ σοι καὶ θέλῃς ἐπιγνῶναι τὴν ἔννοιαν τῶν ἐγγεγραμμένων, πότερον δόλος ἐστὶν ἢ οὔ, καὶ πότερον δίκαιον ἢ ἄδικον ἢ ἀγαθὸν ἢ πονηρόν, τὸ δ' αὐτὸ καὶ ὅταν τις ἀποσταλεὶς ἀγγε-

5 ἐγχειρομένοις praebent apogr. 11 l. προάγουσιν? 12 μόνον B. 14 τρόπους καὶ οὔτε B. 16 προσφανεῖς A. 17 τρόπῳ omis. B ; delendum putat Kroll. 18-21 Verba καὶ κατὰ τὴν ... ποιεῖται omis. A. 20 τίνι] τι cod. 21 ὅτως (sic) A. 25 ἀποφαίνου coni. Kroll. 26 Cod. Marcianum (A) descripsit Olivieri, Parisinum 2506, f. 98v (B) Cumont. 28 θέλις B. 29 πότερον B : πότε A (bis). 30 ἀποσταλὴ B.

[1] Hermippus " viciens centum milia versuum a Zoroastre condita indicibus quoque voluminum eius positis explanavisse „ traditur (Plin, *H. N.*, XXX, 2, § 4). Ex hac immensa mole paucula fragmenta supersunt (de quibus *Mystères de Mithra*, I. p. 33 egi), quorum nonnulla ad astrologiam pertinent. Praeter excerpta in *Geoponicis* servata, vide Pitra, *Anal. sacra*, V (1888), p. 163, 35 (Πότε ἑπτάμηνον ἔσται), p. 174, 35. Cod. Paris. 2417, f. 35, habet capitulum inscriptum Ζωροάστρου περὶ πολέμου προσδοκωμένου. F. C.

Digitized by Google

λίαν φέρῃ πρός σε, οὕτω γνώσῃ τὸ κεκρυμμένον· πῆξον τὰ κέντρα καὶ τὰς ἐποχὰς τῶν ἀστέρων ὡς ἐπὶ γενέσεως, καὶ ἐὰν μὲν Κρόνος ὡρ(οσκο)π(ῇ) ἢ μ(εσου)ρ(ανῇ), ἐν ᾗ ὥρᾳ ἔλαβες τὴν ἐπιστολήν, ἐστὶν ἡ ἀγγελία λίαν χαλεπή· εἰ δὲ συνήντησε Σελήνη ἢ τετραγωνίσῃ, διπλοῦς ὁ ἀγὼν ἐστι καὶ αὐστηρότερος. ἐὰν δὲ Κρόνος στηρίζῃ ὡροσκοπῶν ἢ μεσουρανῶν, δεινὴν ἀγγελίαν ἀναγκαίων τινῶν περιέχει. εἰ δὲ καὶ Ἑρμῆς συμπαρῇ, ἐπιβεβαιώσει πάντα ἐπὶ τὸ χεῖρον· ἡ δὲ ἐπιστολὴ ὑπὸ ἀνθρώπου πονηροῦ γέγραπται· ὁ δὲ ἀποδοὺς καὶ ὁ γράψας ἐχθροί σού εἰσι καὶ ἀντίδικοι· μάλιστα δὲ οὗ τὸ χειρόγραφόν ἐστι πάντων σοι πολεμιώτατος. ἐὰν δὲ μετὰ Κρόνου συνῇ Ζεύς, ἐστὶ τὰ γεγραμμένα μικτά, ὅπου μὲν ἀγαθά, ὅπου δὲ φαῦλα· κακὸν μέντοι γε οὐ κατισχύσει· ἔστι δὲ τὸ ἐπιστόλιον παρ' ἀνδρὸς ὑπερέχοντος, μισοπονήρου, δικαίου. εἰ δὲ μετὰ Κρόνου συμπαρῇ Ἀφροδίτη, ἐστὶ μὲν κοινὰ τὰ γεγραμμένα ἐκ φαύλων καὶ ἀγαθῶν, μετὰ δὲ γυναικὸς γνώμης γέγραπται ἡ ἐπιστολή· ὁ δὲ τρόπος τοῦ γεγραφότος μικτὸς ἐκ πονηρίας καὶ χρηστότητος, μᾶλλον ἐπὶ τὸ ἀγαθὸν ῥέπων.

Ἐὰν Ἄρης ὡρ(οσκο)πῇ ἢ μ(εσου)ρ(ανῇ) ἢ ἐπὶ καταφορᾶς τοῦ Ἡλίου γένηται, ἐπιβουλὴν μεγάλην περιέχει ἡ ἐπιστολή· ὁ δὲ κομίζων τὴν ἐπιστολὴν συνίστωρ ἐστὶ τῆς ἐπιβουλῆς καὶ ἐννοῶν τὰ χαλεπά. ἐὰν δὲ στηρίζων τύχῃ ὁ Ἄρης ὡρ(οσκό)π(ῳ) ἢ μ(εσου)ρ(ανήματι), μέγιστον ἀγῶνα περιέχει καὶ ἀπώλειάν τινα μειζόνων· γέγραπται δὲ ὑπὸ πονηροῦ ἀνδρὸς ὀξυθύμου, θερμοῦ, ἀσεβοῦς. ἐὰν δὲ Ζεὺς συμπαρῇ, κοινά ἐστι τὰ γεγραμμένα· ἐὰν δὲ Ἀφροδίτη, κοινὰ μὲν τὰ ἐνόντα εἰσίν, ὑπὸ δὲ γυναικὸς ἢ σπάδωνος γέγραπται· ἐὰν δὲ Σελήνη συνῇ τῷ Ἑρμῇ, τὰ αὐτὰ νοείσθω ὅπερ καὶ ἐπὶ Κρόνου· ἐὰν Ἄρης αὐτῷ σύνεστι καὶ εἰ μὲν μὴ στηρίζει ὁ ἀστήρ, περιέχει ἡ ἐπιστολὴ ῥᾳδιουργίαν καὶ νοσφισμὸν καὶ δόλον καὶ περιεργίαν καὶ ψεῦδος· ὁ δὲ γράψας ἐστὶ κοινωνὸς ἢ χειριστὴς πραγμάτων ἢ ἐμπορικὴν ἔχων ἐργασίαν· ἐὰν δὲ στηρίζῃ, χείρονά ἐστι τὰ νοούμενα καὶ δολιώτερα καὶ ἀγωνιστικώτερα. εἰ δὲ Σελήνη συμπαρῇ, χείρονα ἀποτελέσει, ὥσπερ καὶ ἐπὶ Κρόνου εἴρηται, καὶ ὁ ἀποκομιστὴς συνίστωρ ἐστὶ τοῦ κακοῦ ἢ ἐπεβούλευσεν ἐν τῇ ὁδῷ τῇ σφραγῖδι καὶ τῇ ἐπιστολῇ.

Εἰ δὲ Ἑρμῆς ὡρ(οσκο)π(ῇ) ἢ μ(εσου)ρ(ανῇ), μεγάλα ἀγαθὰ περιέχει καὶ περὶ βίου καὶ σωτηρίας, τῶν τε ὄντων καὶ τῶν γεγονότων, καὶ τὰ πάντα ἀληθῆ· ὁ δὲ γράψας τὴν ἐπιστολήν, εἰ μὲν Ζεὺς συμπαρῇ, ἀνήρ ἐστιν ὑπερέχων τῇ δόξῃ καὶ δίκαιος· εἰ δὲ Ἀφροδίτη, νεανίσκος νεωστὶ ἐμβεβηκὼς εἰς πράγματα, ἱλαρὸς δὲ καὶ παιγνιώδης καὶ ἀγαθός, ὁ δὲ ἐπιστοληφόρος δίκαιος, εὔνους.

Εἰ δὲ Ζεὺς ὡρ(οσκο)π(ῇ) ἢ μ(εσου)ρ(ανῇ), περιέχει ἀγαθὰ μεγάλα

2 τὴν ἐποχὴν A. 3 ἔλαβε B. 7 ἐπιβεβαιώση B : ἐπιβεβαιῶ, σ superscr., A. ὑπὸ A : ἐπὶ B. 11 μέντι A. 14 γνώμην A. 19 ἐπὶ τῆς ἐπιβουλῆς B : ἐστὶ τῆς βουλῆς A. ἐνῶν codd. 20 τύχει A. 25 l. ἅπερ? 26 εἰ ... ἀστήρ] μόνον στοιχεῖ ἀστήρ B. 28 κοινῶν A. 30 ἡ ☾ B. ἀποτελεύσει B.

Digitized by Google

καὶ ἀληθινὰ καὶ εὐφρόσυνα ὑπέρ τε ὄντων καὶ προγεγονότων πραγμάτων καὶ μελλόντων· ἀπέσταλται δὲ ὑπὸ ἄρχοντος μεγάλου καὶ ἀληθινοῦ· ὁ δὲ γράψας ἔνδοξος καὶ φίλος ὑμέτερος. εἰ δὲ σὺν Σελήνῃ ὡρ(οσκο)π(ῇ), ἐπαύξεται τὰ δηλούμενα ἀγαθά· εἰ δ' ὁ Ζεὺς στηρίζῃ, διπλοῦν τὸ ἀγαθόν ἐστι. εἰ δὲ καὶ Ἑρμῆς συμπαρῇ, αὔξει μὲν τὰ δηλούμενα ἀγαθά· περιέχει δὲ περὶ κέρδους τινὸς καὶ πλεονασμοῦ, γέγραπται δὲ μετὰ γνώμης ἀνδρῶν δύο, ὧν ὁ μὲν δίκαιος καὶ ἀγαθὸς ὁ δὲ ἕτερος δίκαιος ἀλλὰ δόλιος, ὁ δὲ ἀποδιδοὺς τὴν ἐπιστολὴν εὐγνώμων σοι κατὰ διάνοιαν. ἐὰν δὲ συνῇ αὐτῷ Κρόνος ἢ Ἄρης, κοινὰ ἡγοῦ τὰ ἐνόντα, τινὰ μὲν ἀγαθά, τινὰ δὲ φαῦλα.

Εἰ δὲ Ἀφροδίτη ὡρ(οσκο)π(ῇ) ἢ μ(εσου)ρ(ανῇ), περιέχει ἡ ἐπιστολὴ ἱλαρὰ καὶ εὐφρόσυνα· γέγραπται δέ, εἰ μὲν ἐν ἀρσενικῷ ζῳδίῳ ὡρ(οσκο)π(ῇ), ὑπὸ γυναικὸς ἀγαθῆς καὶ καλῶς πρός σε διακειμένης· εἰ δὲ Ἀφροδίτη στηρίζῃ, διπλοῦν ἔσται τὸ εὐαγγέλιον· εἰ δὲ Σελήνη ἢ Ἑρμῆς συμπαρῇ, ἐπιβεβαιωθήσεται τὸ ἀγαθόν, πλεῖον δὲ διὰ τοῦ Ἑρμοῦ· ἀλλὰ διὰ τὸν Ἑρμῆν περιέξει διαφορικοὺς λόγους καὶ καλλιλόγους· γέγραπται δὲ ὑπὸ νεανίσκου ἱλαροῦ μέν, ἀλλὰ πυκνοῦ καὶ κρυψίνου καὶ κοινωνικοῦ καὶ νοσφιστοῦ καὶ ἐπιόρκου καὶ ψεύστου καὶ ἐκ τῶν σῶν νοσφιζομένου καθαρῶς καὶ ἀνυπονοήτως. εἰ δὲ μὴ παρῇ Ἑρμῆς, ὑπὸ γυναικὸς κοινῆς γέγραπται· ὁ δὲ ἐπιστοληφόρος δίκαιος τῇ φύσει καὶ εὔνους πρός σε. εἰ δὲ Κρόνος ἢ Ἄρης συμπαρῇ τῇ Ἀφροδίτῃ, κοινὰ τὰ γεγραμμένα καὶ καλὰ καὶ δεινά· τὰ δὲ ἀγαθὰ ἐπιτακτικά, παρρησιαστικά· γέγραπται δὲ ὑπὸ ἀνδρὸς ὑπερέχοντος μετά τινος σπουδῆς παρρησιαστικὰ καὶ ἄστοχα· .... οἱ ..... δύνει, ἔγκλησίν τινα περιέχει ἡ ἐπιστολή· τὸ δὲ χειρόγραφόν ἐστί τινος σφόδρα ὑπερηφάνου· ἀλλὰ καὶ ὁ κομίζων αὐτὴν τοιοῦτός ἐστιν.

Εἰ δὲ Σελήνη ὡρ(οσκο)π(ῇ) αὐτὴ καθ' ἑαυτήν, μηδενὸς τῶν πλανητῶν ὑπὸ γῆν ἀναφερομένου ἢ μ(εσου)ρ(ανοῦντος), περιέχει ἡ ἐπιστολὴ προσδοκίαν τινὸς καὶ ἐπαγγελίας κοινὰς καὶ ὑπὲρ πεπραγμένων καὶ τετελειωμένων· ἡ δὲ ἐπιστολή ἐστι λόγος ἐπιστάτου ἢ ἰδίου τινὸς ἢ κοινωνοῦ καὶ χειριστοῦ ἢ συγγενοῦς· εἰ δὲ σύνοδον ἄγει, εἴσκλησιν περιέχει ἡ ἐπιστολή. ὁ δὲ ἀποδιδοὺς περίεργος καὶ πολυπράγμων.

Εἰ δὲ μήτε Σελήνη μήτε τις τῶν ε' ἀστέρων ὡρ(οσκο)π(ῇ) ἢ μ(εσου)ρ(ανῇ), περιέχει τὸ ἀφ' ἑκάστου ζῳδίου σημαινόμενον ἀπὸ τῶν ζ' ἀστέρων. Κριὸς ὡρ(οσκο)π(ῶν) ἢ μ(εσου)ρ(ανῶν) ἐπιτακτικὰ ποιεῖ τὰ γεγραμμένα· Ταῦρος ὡρ(οσκο)π(ῶν) ἢ μ(εσου)ρ(ανῶν), ταραχώδη καὶ ὀργίλα· Δίδυμοι, πραέα καὶ αὐστηρὰ καὶ πλείονα, ἃ καὶ τελεσθήσεται· Καρκίνος περὶ ἐνεστώτων δηλοῖ· Λέων ἐξ ὑπερεχόντων καὶ αὐστηρότη-

9 καινὰ B : καλὰ in textu, in marg. οἶμαι κοινά A. 12 εὐφρόσυνος B. μὲν ἀρσενικὸν ζῴδιον B. 21 καὶ Ἄρης codd. 24 Ante et post οἱ lacuna quinque circiter litt. in codd. 29 κοινὰς A : κοινῆς B. An καινάς? 33 ε' omis. A. 34 ζῴδιον B. ἀπό. An ἀπόντων? (sic aut ἄνευ? W. K.) 35 ἐπὶ τὰ κτητικά B. 37 πραέων B.

Digitized by Google

τος· Παρθένος μυστικὰ δηλοῖ ἃ καὶ τελεσθήσεται. Ζυγὸς ἐξ ὑπερεχόντων ἀλλὰ βιωτικὰ μᾶλλον· Σκορπίος, ἐπαγγελίαν καὶ προσδοκίαν τινὸς ἀγαθοῦ δηλοῖ, ἃ καὶ τελεσθήσεται· Τοξότης, ἐπιτακτικὰ καὶ αὐστηρά, ἃ καὶ τελεσθήσεται· Αἰγόκερως, ἱλαρὰ μὲν καὶ ὑπό τινος συμβιωτοῦ δηλοῖ, οὐδὲν δὲ ἀληθές· Ὑδροχόος, ἐπικερδῆ μὲν παρέχει, ἃ καὶ ἐπὶ τέλος ἀχθήσεται· Ἰχθύες, εἴσκλησιν δηλοῦσι καὶ ἐπιβουλήν.

A. O.

F. 127v. Σχόλιον ἐκ τῶν Θεοφίλου[1] περὶ ζωῆς.

Ἐπὰν στήσῃς τὸν ἐπικρατήτορα, σκόπει τὰς ἀναιρετικὰς ἀκτῖνας τῶν κακοποιῶν, τετράγωνον διαμέτρους ἀστέρος μέχρι τῆς ἑνενηκονταμοιρίας καὶ ἐκ τῶν ἀναφορικῶν χρόνων γίνεται δήλη ἡ ποσότης τῆς ζωῆς· δύναται δὲ ἀγαθοποιὸς ἀκτινοβολεῖν εἰς τὰ ἑπόμενα τῆς ἀναιρετικῆς ἑνενηκονταμοιρίας μέχρι ε' ἢ καὶ πλειόνων, ἐὰν ᾖ τὸ αὐτὸ ὅριον ἀνταναλῦσαι τὴν κάκωσιν.

A. O.

F. 137. Δωροθέου περὶ ἐπεμβάσεων.

Δεῖ δὲ καὶ ταῖς ἐπεμβάσεσι τῶν ἀστέρων προσέχειν. Κρόνος γὰρ ἐπὶ Δία ἐρχόμενος, ὅσα παρέχει ὁ Ζεὺς βλάπτει καὶ πᾶσαν πρᾶξιν καὶ ὁρμὴν σβέννυσι· καὶ ὁ Ζεὺς εἰς Κρόνον ζημίας καὶ τὰ τελούμενα ἐπιβλαβῆ. ὁ Κρόνος ἐπὶ τὸν τόπον Ἄρεως ἀθαρσεῖς καὶ ἀπροθύμους ποιεῖ· ὁ Κρόνος εἰς Ἥλιον κινδύνους καὶ κρίσεις ἐπιφέρει διὰ ἀρχῆς καὶ μᾶλλον στηρίζων· ὁ Κρόνος ἐπὶ Ἀφροδίτην τὰ τῆς Ἀφροδίτης ἀγαθὰ βλάπτει. ὁ Κρόνος ἐπὶ Ἑρμῆν τὰ ὑπὸ Ἑρμοῦ διδόμενα βλάπτει. ὁ Κρόνος εἰς Σελήνην ὁμοίως κακός, ψόγους γὰρ καὶ ὀνείδη ἐπιφέρει, χεῖρον δὲ εἰ καὶ στηρίζῃ ὁ Κρόνος. ὁ Κρόνος διαμετρῶν Σελήνην κακὸς καὶ μᾶλλον ὕπαυγος· νόσους γὰρ παρέχει καὶ αὐτὸς καὶ ὁ Ἄρης οὕτως ὁρῶν τὴν Σελήνην.

Ὁ Ζεὺς ἐπὶ Κρόνον προϋπαρχούσῃ λύπῃ κουφισμὸν παρέχει· οἱ τοιοῦτοι δὲ ἀλλοτρίου ἔργου προστήσονται καὶ ἑκόντες δαπανήσουσι· ὁ Ζεὺς ἐπὶ Ἄρην καὶ πρᾶξιν καὶ χάριν παρέχει καὶ αὔξει πάντα καὶ ἐχθροὺς ὑποχειρίους ποιεῖ. ὁ Ζεὺς εἰς τὸ τετράγωνον τοῦ Ἄρεως ἢ Κρόνου ὁμοίως ἀγαθὰ δηλοῖ, ὡσαύτως καὶ Ἀφροδίτη, πάντοτε γὰρ οἱ

2 βιοτικὰ A. 6 εἰς κλῆσιν (sine i subscr.) codd. 10 l. τετραγώνους W. K. ἀστέρος : l. ἑξαγώνους vel τριγώνους? W. K. 12 l. ἀκτινοβολῶν W. K. 15 Marcianum 334, f. 168 (A) descripsit Kroll, Marcianum 335, f. 137 (B) descripsit Olivieri. Apographa contulimus. Archetypus uncialibus quas dicunt litteris scriptus erat. 17 πρᾶξιν καὶ omis. A. 18 καὶ Ḃ εἰς Ẓ' ζημίσεις A. 20-22 ὁ Κρόνος ... στηρίζων post διδόμενα βλάπτει transp. A qui pro στηρίζων, στηριζομένη habet. 31 Ἀφροδίτη] Ἑρμῆς B.

[1] De Theophilo, cf. *Catal. Flor.*, p. 129, n. 1.

Digitized by Google

ἀγαθοὶ εἰς τὸ τετράγωνον τοῖς φθοροποιοῖς ἐρχόμενοι, ἡδονὰς καὶ ὑγείας καὶ τιμὰς παρέχουσιν.

Ὁ Ἄρης ἐπὶ τὸν Ἥλιον ἐλθὼν ἢ τὸν Δία καὶ μᾶλλον ἐν ἡμέρᾳ γε φαῦλος, καὶ μᾶλλον εἰ δύνει, εἰ δὲ καὶ στηρίζει, ἐπισφαλέστερος· κινδύνους γὰρ σωματικοὺς καὶ κρίσεις ἕνεκεν ἀρχαίων σημαίνει· τὸ αὐτὸ δὲ ποιεῖ ὁ Ἄρης καὶ εἰς τὸ διάμετρον τοῦ Ἡλίου καὶ τοῦ Διὸς ἐλθών· ἀλλὰ καὶ ὁ Ἥλιος κατὰ πάροδον ἢ ὁ Ζεὺς ἐπεμβαίνων τῷ Ἄρει ἢ διαμετρῶν τὰ ἴσα ποιεῖ· ἐν δὲ ταῖς ἐπεμβάσεσι ταύταις, εἰ μὲν κατὰ πῆξιν τρίγωνος ἦν ὁ κακοποιὸς τοῦ ζῳδίου, ἐν ᾧ γέγονεν ἡ κατ' ἐπέμβασιν βλάβη, ἐλαφρότερον τὸ κακόν, ἐπειδὴ τὰ διάμετρα σχήματα πάντων ὑψηλότερα, τὰ δὲ τετράγωνα ἰσχυρότερα τῶν κατὰ σῶμα. τῶν δὲ τετραγώνων μᾶλλον τὰ δεξιὰ σκόπει, ἃ καὶ καθυπερτερεῖν λέγεται· ἐν τούτοις γὰρ ἐπεμβαίνοντες οἱ φθοροποιοὶ καὶ καθυπερτεροῦντες τοὺς ἀστέρας, ἰσχυρότερον βλάπτουσιν, οἱ δὲ ἀγαθοποιοὶ ἐν τοῖς τετραγώνοις πλοῦτον, εὐφροσύνην καὶ τιμὰς διδοῦσιν· ἐν δὲ τοῖς τριγώνοις τόποις οἱ μὲν ἀγαθοὶ ἔτι μᾶλλον ἀγαθύνονται, οἱ δὲ κακοποιοὶ ἀμβλύτερον ἐνεργοῦσι.

Κρόνος δὲ καὶ Ἄρης ἐν ταῖς ἐπεμβάσεσιν ταῖς πρὸς Ἥλιον, Σελήνην, Δία ταῖς τε σωματικαῖς καὶ ταῖς κατὰ τετράγωνον ἢ διάμετρον, ὁμοίως καὶ ἐν ταῖς ἀποκαταστάσεσι καὶ ἀνταποκαταστάσεσι, τουτέστιν ὅταν εἰς τὸν κατὰ πῆξιν τόπον τῆς γενέσεως αὐτῶν ἔλθωσι ἢ ἐν τῷ διαμέτρῳ, βλαπτικώτεροι γίνονται, εἴπερ ἐξ ἀρχῆς κακῶς ἔκειντο. ἀλλ' ὁ μὲν Ἄρης τῶν με' ἐτῶν πληρωθέντων ἐλαφρότερος, ὁ δὲ Κρόνος τῶν λ' ἐτῶν πληρωθέντων ἠπιώτερος· ὁμοίως δὲ καὶ ἐν τοῖς δ' κέντροις ἐπεμβαίνοντες ἢ τοῖς φωστῆρσιν οἱ φθοροποιοὶ λυπηροί· ἀλλ' εἰ μὲν ἐξ ἀρχῆς ἦσαν ἐν ἀγαθοῖς τόποις καὶ οἰκείοις, ἀμβλυτέρας ποιεῖ τὰς κατὰ πάροδον κακώσεις, ὥσπερ καὶ οἱ ἀγαθοὶ ἐξ ἀρχῆς ἐν φαύλοις τόποις διακείμενοι ἀσθενεῖς κατὰ πάροδον γίνονται.

Ἰστέον δὲ ὅτι αἱ μὲν κατὰ πῆξιν ἐποχαὶ τῶν ἀστέρων ἠρεμοῦσιν, αἱ δὲ κατ' ἐπέμβασιν πάντως πρὸς τὰς ἐξ ἀρχῆς ἐποχὰς σχηματίζονται, οἷον τρίγωνοι, τετράγωνοι, διάμετροι.

Ἀναγκαῖον δὲ τὸ κεφάλαιον τῶν ἐπεμβάσεων εἰς τὸ εἰπεῖν πότε τὰ σημαινόμενα γίνεται. πᾶς δὲ ἀστὴρ κατὰ πάροδον ἑαυτὸν διαμετρῶν φαῦλός ἐστι καὶ εἰς τὸν κατὰ πῆξιν τόπον ἐρχόμενος κακός ἐστιν καὶ μᾶλλον εἰ ἐν ἡμερινῇ γενέσει ὁ Ἄρης κατὰ πάροδον τὸν Ἥλιον ἴδοι, ἐπὶ δὲ τῶν νυκτερινῶν Κρόνος τὴν Σελήνην· χεῖρον δὲ καὶ στηριγμοὶ ἐν ταῖς τοιαύταις ἐπεμβάσεσι κατὰ πάροδον· ὁ μὲν Ἄρης τριγωνίζων οὐ κατὰ πάροδον ἀλλὰ κατὰ πῆξιν τὸν Ἥλιον ἢ τὸν Δία ὕστερον ἐν ταῖς πρὸς αὐτοὺς ἐπεμβάσεσιν οὐ πάνυ κακός.

1 τὰ τετράγωνα B. 4 δύνη B. 12 καθυπερτεροῦν A. 17 ὁ Ἄρης A. πρὸς Ἥλιον συνόδοις B. 18 τε omis. B. 20 τῆς γενέσεως αὐτῶν ἔλθη A : αὐτῶν ἔλθωσι (omiss. τ. γ.) B. 21 βλαπτικώτερ(ος) γίνεται A. 23 τῷ δ' (κέντρῳ) B. 25 ἐν ἀγαθῶν τόποις B : ἐν ἀγαθ(οῖς) τόπ(οις)? A. 26 ἐν φαύλῳ τόπῳ A. 30 △ □ et diametri signum codd. 32 συμβαινόμενα A. 34 ἡμέρᾳ γενήσῃ B. ὁ ante Ἄρης omis. B. ἴδη A.

Digitized by Google

Ὁ Ἄρης ἐπὶ Κρόνον ἐλθὼν ἀόκνους καὶ ἑτοίμους καὶ πρακτικοὺς ποιεῖ καὶ κατ' ἐχθρῶν διεγείρει· Ἄρης ἐπὶ Δία καὶ Ἀφροδίτην καὶ Ἑρμῆν ἃ παρέχουσιν οὗτοι εἰς τὸ χεῖρον μετατρέπει· ὁ Ἄρης ἐπὶ τὸν Ἥλιον ἐλθὼν εἰ μᾶλλον καὶ ὕπαυγος εὑρεθῇ κατὰ πάροδον ἐκ πυρετοῦ δαμάζει ἢ ἐκ πυρὸς ζημίαν δίδωσιν· εἰ δὲ πατέρα τις ἔχει, καὶ τοῦτον ἀναιρεῖ ἢ γέροντα τὸν ἐν τάξει ὄντα πατρός, καὶ πρὸς μεγάλους δὲ ἄνδρας κακὸς καὶ ἐν παντὶ ἔργῳ χαλεπὸς καὶ μάλιστα ἐν δημοσίοις. Ἄρης εἰς Σελήνην σωματικὴν νόσον ἢ χρηματικὴν βλάβην καὶ μετὰ καμάτου τὰς εὐεργεσίας παρέχει, ἐχθροὺς δὲ ἐπόψονται μόνον ἤγουν κράτος κατ' ἐχθρῶν ἔξουσιν. Ἄρης ἐπὶ Ἀφροδίτην ἀνωμαλίας χάριν ἀφροδισίων ποιεῖ. Ἄρης ἐπὶ Ἑρμῆν δόλους, ὑπονοίας, ἀσχημοσύνας καὶ ἐχθρας εἰς φίλους ποιεῖ, δούλων τε δρασμὸν ἢ κλοπὰς καὶ βίου ἢ πράξεων ἐλάττωσιν, κατ' ἐξοχὴν γὰρ τόν τε βίον μειοῖ καὶ τὰς πράξεις λύει. Ἀφροδίτη εἰς Κρόνον καλὴ πρὸς πρᾶξιν καὶ πάντα ὥσπερ καὶ Ἄρης εἰς Κρόνον ἀγαθός. Ἀφροδίτη εἰς Δία ταράσσει καὶ λυπεῖ διὰ γυναικῶν καὶ τὰς ἐλπίδας ψεύσεται καὶ οὐδὲν ὧν ἄν τις ἐννοήσῃ γενήσεται· Ἀφροδίτη ἐπὶ Ἥλιον συνεχεῖς γυναικῶν κοινωνίας παρέχει καὶ ψόγον διὰ γυναικῶν, ταράσσει δὲ τὰς ψυχὰς καὶ πρὸς οἰκίας ἀκαταστασίας ποιεῖ· Ἀφροδίτη ἐπὶ τὸν Ἑρμῆν αὔξει ἃ ὁ Ἑρμῆς ποιεῖ ἤγουν παρέχει. Ἀφροδίτη εἰς Σελήνην ἱλαρὰ καὶ ἔμπρακτος, διὰ μέντοι γυναικεῖον πρόσωπον λύπην ἢ ψόγον ἐπάγει· Ἑρμῆς ἐπὶ τὸν Δία πρὸς πᾶν πρᾶγμα ἄριστος καὶ μάλιστα τοῖς βουλομένοις ἔρχεσθαι πρὸς δυνάστας. Ἑρμῆς εἰς Ἄρεα θαρσαλέους, ἐπινοητικοὺς καὶ πρὸς τὰ πράγματα διεγηγερμένους. Ἑρμῆς εἰς Ἀφροδίτην ἐπεγερτικὸς εἰς τὰ ἀφροδίσια, ὠφελεῖ δὲ καὶ περὶ τὰς πράξεις καὶ εἰς τὰ λοιπὰ ἔργα. Ἑρμῆς ἐπὶ Σελήνην ὑγείαν καὶ ῥῶσιν παρέχει καὶ δύναμιν τοῖς μέλεσι δίδωσιν.

Οἱ φωστῆρες ἐν μὲν ἀγαθοποιῶν τόποις ὠφέλιμοί εἰσιν, ἐν δὲ κακοποιῶν, βλαπτικοί· ὁ δὲ κακοποιὸς εἰς τὰ κέντρα ἐρχόμενος πάνυ βλαπτικός· ὁ μὲν γὰρ ὡροσκόπος τὸν βίον ἔλαχε πάντα, τὸ δὲ μεσουράνημα πράξεις καὶ τέκνα καὶ δόξαν, τὸ δὲ δῦνον γάμον καὶ γῆρας, τὸ δὲ ὑπόγειον τοὺς κρυφίους τύπους τοῦ σώματος καὶ θεμέλια καὶ κτίσεις καὶ ἀγοράς· Σελήνη εἰς τὸν ἑαυτῆς τόπον ἐλθοῦσα μετεωρισμὸν διανοίας παρέχει· εἰ δὲ ἐν τροπικῷ ζῳδίῳ τύχοι, ἀπὸ πράξεως εἰς ἑτέραν πρᾶξιν μετατίθησιν· εἰ δὲ μετὰ Ἀφροδίτης καὶ Διὸς τύχοι κατὰ πῆξιν, πολλὴν εὐφροσύνην παρέχει. Σελήνη εἰς τὸν Ἥλιον ἐν Λέοντι ἐλθοῦσα καλὴ πρὸς συστάσεις. Σελήνη ἐπὶ τὸν Ἄρην ἐλθοῦσα αἰφνι-

10 μόνον vix sanum. ἤγουν B : ἤτοι ut vid. A. 13 δραμὸν (sic) A. 14 ἡ Ἀφροδίτη A. 15 l. ἀγαθὴ vel ἀγαθὰ? 17 συνεχῶν B. 19 l. οἰκείους? 20 ἤγουν B : ἤτοι ut vid. A. 21 ἡ Ἀφροδίτη A. 22 ὁ ἑρμῆς A. 23 ἐπινοήτους B : ἐπινοητικοὺς ut vid. A. 24 διεγειγερμένους A. ὁ ἑρμῆς A. 26 ὁ ἑρμῆς A. 27 μέλλεσι A : μέρεσι B : corr. 29 βλαπτικός B. 31 καὶ δόξαν καὶ τέκνα B. 32 κρίσεις A. 33 ἡ σελήνη A.

Digitized by Google

δίους κινδύνους σημαίνει, εἰ μὴ ἀγαθοποιὸς αὐτὴν ἴδοι· ὁμοίως καὶ εἰς τὸν Ἥλιον ἐλθοῦσα Σελήνη, τοῦ Ἄρεως ὁρῶντος. Ἥλιος εἰς τὸν Ἄρεα ἢ Ἄρης εἰς Ἥλιον καὶ Ἥλιος ἢ Ἄρης εἰς Σελήνην συνόντος Ἡλίου αἱμαγμὸν δηλοῖ ἢ βλάβην ἐκ πυρός. Σελήνη εἰς Ἀφροδίτην κακοποιῶν μὴ ὁρώντων καλὸς ὁ χρόνος· εἰ δὲ σύνεστιν ὁ Ἄρης τῇ Σελήνῃ ἢ τῇ 5 Ἀφροδίτῃ, μίξεις γυναικῶν σημαίνει. Σελήνη ἐπὶ Κρόνον ψυχρά, ὄντος δὲ ἐν τῷ ἰδίῳ τριγώνῳ ὠφελεῖται παρ' ἀρχόντων. Σελήνη ἐπὶ Ἑρμῆν ἀγαθοποιούμενον ἀγαθὰ δηλοῖ, κακοποιούμενον δὲ χαλεπά. Σελήνη ἐπὶ τὸν ὡροσκόπον μετεωρίζει τὴν ψυχήν· ἐπὶ δὲ τὸ μεσουράνημα ἐν προαγωγαῖς καὶ δόξαις ποιεῖ· αἱ δὲ δόξαι ὁποῖαι ἔσονται γνώσῃ ἐκ τοῦ 10 ἐπιμαρτυροῦντος ἀστέρος τῇ Σελήνῃ· Σελήνη ἐπὶ τὸ δῦνον καλὴ πρὸς ἐχθρῶν ἐπιβουλάς· ὁμοίως καὶ ἐπὶ τὸ ὑπόγειον καλὴ πρὸς ὀλους καὶ ἐπιβουλὰς ἐχθρῶν καὶ λαθραῖα πράγματα καὶ ἀπόκρυφα καὶ πρὸς <τὴν> τῶν τοιούτων κοινωνίαν. οὐ πάντων δὲ τῶν ἀστέρων τὰς ἐπεμβάσεις δέον σκοπεῖν, ἀλλὰ τὰς τῶν χρονοκρατόρων μόνας ἤτοι τὰς τοῦ ὑπαντήτορος 15 καὶ ὁριοκράτορος· φησὶ γὰρ ὁ Πτολεμαῖος. κἂν μὲν οἱ αὐτοὶ καὶ τῶν χρόνων καὶ τῶν ἐπεμβάσεων κυριεύσωσιν, ἄκρατόν ἐστι τὸ ἀποτέλεσμα. ἡμεῖς δὲ τῇ συνεχεῖ πείρᾳ ἑπόμενοι εὑρίσκομεν, ὅτι αἱ ἐπεμβάσεις αὗται μεγάλως συνεργοῦσιν εἰς τὰ τῶν καιρῶν ἀποτελέσματα, οὐ μόνον εἰς τοὺς κατὰ πῆξιν κυρίους τόπους ἐρχομένων τῶν ἀστέρων ἀλλὰ καὶ εἰς 20 τὸν τόπον τῶν χρόνων τῶν ἐκ τοῦ περιπάτου εὑρισκομένων· τοῦτο γὰρ ἐγγυώμενον εὑρίσκομεν καὶ τὸν μέγαν Πτολεμαῖον ἐν τῷ β' καὶ γ' καὶ δ' βιβλίῳ τῶν ἀποτελεσματικῶν.

Καὶ ταῦτα μὲν ὁ Δωρόθεος· λέγει δὲ καὶ Ὀρφεὺς περὶ ἐπεμβάσεων ταῦτα· ὁ Κρόνος ἐπεμβὰς Διὶ σφάλματα βίου ποιεῖ καὶ κτημά- 25 των ἐστὶ φθορεὺς καὶ γάμον σκεδάζει γυναικὸς καὶ εἰς πᾶν ἔργον βλάπτεται· ὁ Κρόνος εἰς Ἄρην αἴτιος συνοχῶν δεσμῶν νόσων, λυπεῖ δὲ ἕνεκεν τέκνων, ὄλεθρον σημαίνει κτημάτων, τινὰς φυγοπάτριδας ποιεῖ ἢ θητεύοντας καὶ πενητεύοντας. ὁ Κρόνος εἰς Ἥλιον μετὰ κόπου τὰς πράξεις τελεῖ· φευκτέον δὲ τὸν πλοῦν καὶ τὰς ὁδοιπορίας διὰ φόβον 30 λῃστῶν. ὁ Κρόνος εἰς Ἀφροδίτην ἐχθραίνει τοὺς συγγενεῖς καὶ τοὺς φίλους, ἀπάτας καὶ παραχὰς καὶ ζημίας ἐπάγει, ὁ δὲ ἔχων γυναῖκα αἰσχυνθήσεται διὰ τὴν αὐτῆς μαχλοσύνην. ὁ Κρόνος εἰς Ἑρμῆν φιλονεικίας καὶ κρίσεις σημαίνει καὶ ζημίας καὶ παραχὰς καὶ θανάτους ἀδίκους συγγενῶν· φευκτέον δὲ τάς τε ἀγορὰς καὶ τὸ ἀνακοινοῦσθαι 35 ἑτέροις τὰς πράξεις· δολοπλοκίας γὰρ ποιεῖ καὶ ἀπάτας. ὁ Κρόνος εἰς Σελήνην ἐπαναστάσεις τόπων ποιεῖ ἢ χρονίας νόσους ἢ κτημάτων ὄλεθρον καὶ ζημίαν. ὁ Κρόνος εἰς ἑαυτὸν μεταναστάσεις, ἐπὶ ξένων τόπων

1 μὴ A : μὴν B. ἴδῃ B. 3 τὸν Ἥλιον A. 8 l. ἀγαθοποιουμένη εἰ κακοποιουμένη? 12 δούλους A. 13 τὴν suppl. 15 τὰς χρονοκράτορας B. ὑπαντήνορος A. 21 l. τὸν ... εὑρισκόμενον? 26 βλαπτικὸς B. 27 λύπης B. 29 εἰς ἥλιον B : εἰς τὸν Ἄρεα (ἥλιον m²?) A. 31 τοὺς ante φίλους omis. B. 34 θανάτους A : δυνάτους B. 35 ἀδίκους καὶ A. 36 ἑτέρας πράξεις B. δολοπλοκίαν B.

Digitized by Google

τε πλάνας σημαίνει, ταραχάς τε καὶ εἱρκτὴν καὶ δεσμά, γονέων θανάτους, οἴκου καὶ χρημάτων ἀφανισμόν. ὁ Κρόνος εἰς τὸν ὡροσκόπον εἰς ἄλλην χώραν μεθιστᾷ, ποιεῖ δὲ καὶ ἀπάτας, ζημίας, κινδύνους. ὁ Κρόνος εἰς τὸ μεσουράνημα εἰς ξένην γῆν ἀπάγει καὶ δόξαν δίδωσιν ἀλλ' ἕνεκα χρέους λυπεῖ. ὁ Κρόνος εἰς τὸ δῦνον καὶ τὸ ὑπόγειον ἢ τῶν οἰκείων οἴκων καὶ κτημάτων ἀπελαύνει ἢ εἰς ἀλλοδαπὴν ἀπάγει ἢ δορυαλώτους ποιεῖ ἢ τοὺς δούλους θανατοῖ.

Ὁ Ζεὺς εἰς Κρόνον ἀνώμαλον τὴν πρᾶξιν τοῦ βίου, ποτὲ μὲν ἀγρῶν καὶ θεμελίων κτῆσιν διδοὺς καὶ οἴκων ἢ ἀλλότριον βίον διέπειν, ποτὲ δὲ τῶν προτέρων ἔργων καὶ πράξεων ἀποσφαλλομένους ποιῶν, ἄλλοις δαπάνας καὶ ζημίας <καὶ> μακρονοσίας ἐπάγων. ὁ Ζεὺς εἰς ἑαυτὸν ὅσας θλίψεις εὕροι τούτων λυτροῖ καὶ κέρδη παρέχει, φήμας τε κενὰς καὶ θρύλλους ἐπάγει, εἰ μὴ τύχῃ ἐν ἰδίῳ οἴκῳ κατὰ πῆξιν. ὁ Ζεὺς εἰς Ἥλιον ἀργίαν ταῖς πράξεσι δίδωσι καὶ φθείρει τοὺς οἴκους ἢ νόσων ἢ κτημάτων ἀπώλειαν καὶ μάταιον τέλος τῶν πόνων καὶ ἐναντίον τελεῖ. ὁ Ζεὺς εἰς Ἄρην ἀγαθός· εἰ γὰρ εὕροι ἐν κακότητι καὶ συνοχῇ καὶ θλίψει, πάντων ἀπολύει, εἰ δὲ ἐν χαρᾷ εὕρῃ διάγοντα, μείζονα τὴν εὐφροσύνην δίδωσιν, καὶ μειζόνων προσώπων φίλους ποιεῖ καὶ κτήσεις παρέχει καὶ τοὺς ἐχθροὺς λυπεῖ καὶ κέρδη καὶ δόξαν δίδωσι. ὁ Ζεὺς εἰς Ἀφροδίτην πλοῦτον σημαίνει ἀπροσδόκητον καὶ τῶν ἐχθρῶν ὑπέρτερον δείκνυσι καὶ τοῖς μὲν ἀγάμοις γάμον, τοῖς δὲ γεγαμηκόσι τέκνα παρέχει καὶ ταῖς πράξεσι τέλος ἐπιτίθησιν. ὁ Ζεὺς εἰς Ἑρμῆν φίλους μεγάλων ἀνδρῶν ποιεῖ, ὧν καὶ τὴν παρουσίαν οἰκονομεῖν πιστεύονται, καὶ αὐξάνουσι τὸν ἴδιον οἶκον· καὶ δῶρα ἐκ φίλων παρέχει· καὶ οὗτοι μὲν εὐφραίνονται, λυποῦσι δὲ τοὺς ἐχθρούς, εἰ δὲ δίκην ἔχουσι, νικῶσι· δεῖ μέντοι τὸν τοῦ Ἑρμοῦ ἀγαθύνεσθαι. ὁ Ζεὺς εἰς Σελήνην τοῖς μὲν γεγαμηκόσι τεκνογονίαν, τοῖς δὲ δικαζομένοις εὐτυχίαν καὶ κέρδος· πλὴν ὀλίγον πρότερον βλάψας ὕστερον νίκην καὶ εὐπραγίαν παρέχει· ἐνίοτε δὲ καί τινας χρυσείαις κοσμεῖ σειραῖς. ὁ Ζεὺς εἰς τὸν ὡροσκόπον καὶ τὸ δῦνον κοινός ἐστιν εἴς τε ἀγαθὰ καὶ κακά, ποτὲ μὲν κρίσεις ἐπιφέρων καὶ μάχας καὶ ζημίας καὶ ἔχθρας, ποτὲ δὲ τούτων λυτροῖ καὶ κέρδη καὶ κτῆσιν δίδωσιν, ἄλλοτε φιλίαν ἄλλοτε χηρείαν σημαίνει καὶ αἰσχρὰν φήμην γάμων καὶ ταραχὴν διὰ ταῦτα, πολλάκις δὲ καὶ συγγενικὸν φόνον ποιεῖται καὶ κληρονομίαν ἐκ τούτων παρέχει, καὶ τὸν πλανήτην ἐπανάγει εἰς τὴν πατρίδα· εἰς δὲ τὸ μεσουράνημα καὶ τὸ ὑπόγειον θανάτους γονέων καὶ νόσους καὶ κόπους καὶ θλίψεις· ἄλλοις γάμον παρέχει·

1 πλάνον ut vid. A. 4 δίδ A : διὰ cum spatio V litt. B. 6 ἀλλοδαπὰ (?) B. 7 θανατεῖ codd. 8-9 ἀγρῶν καὶ] ἀγρῶν ἢ codd. : corr. 10 ποιεῖ A. 11 καὶ suppl. 12 εὕρῃ A. 13 θρύλλον A. τῷ ἰδίῳ B. ὁ Ζεὺς εἰς Ἥλιον - τελεῖ post δόξαν δίδωσι transp. B. 15 τελεῖ corr. : τέλος codd. 16 εὕροι ἐν κακ. - χαρᾷ omis. A. 23 παρουσίαν A : περιεργίαν B. 24 οὗτοι] l. αὐτοί? 26 τοῦ omis. A. 30 κοινὸν A. 31 ἢ ζημ. codd. 32 κτίσιν A. αἰχθρὰν A. 34 πρανήτ(ην) A. 35 τὴν omis. A.

Digitized by Google

ἑτέρους τῆς πατρίδος μετανιστᾷ· τὸ δὲ τέλος τῶν πράξεων ἔσται ἐπίμοχθον.

Ὁ Ἄρης εἰς Κρόνον ὅσα ὁ Κρόνος εἴωθε βλάπτειν, σῴζει οὗτος ταῦτα· πάσας γὰρ νόσους καὶ λύπας καταπαύει καὶ πλοῦτον καὶ νίκην καὶ εὐφροσύνην διδοῖ· ὁ Ἄρης εἰς Δία ὀλέθριος καὶ ἀπηνής, χρημάτων δαπάναι εἰς μάτην ἔσονται· καὶ ἐν δίκαις βλάπτει καὶ ἐχθροὺς ἀνιστᾷ. ταῖς δ' ἐγκύοις τὰ ἔμβρυα φθείρεται ἢ τεχθέντα τάχιστον τελευτᾷ· βλάβας καὶ ὕβρεις σημαίνει καὶ τόπων μεταναστάσεις ποιεῖται· τάς τε πράξεις ἀχρειοῖ καὶ χάριν τέκνων ἢ γυναικὸς λυπεῖ καὶ ἔχθρας ἀφ' ἡγεμόνων διδοῖ καὶ ἐκ τοῦ δήμου χόλον. ὁ Ἄρης εἰς ἑαυτόν, ἐκ τόπου μετανιστᾷ ἢ νόσους ποιεῖ ἢ σιδήρῳ αἱμάσσει ἢ πυρὶ φλογίζει, εἰς μέντοι τὸν βίον πρῆξιν καὶ κῦδος ὀπάζει. ὁ Ἄρης εἰς Ἥλιον ἐλαττοῖ τὰ κτήματα κάν ταῖς πράξεσι κακός, λύπας ποιεῖ καὶ βλάπτει τὸν νοῦν, τινὰς χάριν κρυφίων ἔργων λυπεῖ· εἰ δὲ καὶ στηρίζῃ, χαλεπωτέρους θορύβους τε καὶ μάχας διὰ πράγματα κινεῖ καὶ ἀρχαίων ἕνεκεν πατρώιον ἔχθος διδοῖ, προδοσίας τε ἐκ τῶν φίλων καὶ ἔχθρας ἐπάγει. ὁ Ἄρης εἰς Ἀφροδίτην μάχην ἐκ γυναικὸς καὶ χόλον ὑπόπτευε· ποιεῖ γὰρ χωρισμὸν ἐπιπολὺ καὶ ὑποψίας μοιχικάς· ἐνίοτε καὶ τὰ τῶν ἀνδρῶν πάντα συλῶσιν. ὁ Ἄρης εἰς Ἑρμῆν ζημίας καὶ δίκας τὰς πλείους ψευδεῖς καὶ δολίους καὶ ἀποκρύφων ἔργων αἰσχύνας καὶ ἀπάτας καὶ ἐπιορκίας, προδόσεις, φυγάδας τε καὶ δεσμοὺς ποιεῖ. ὁ Ἄρης εἰς Σελήνην εἰ μὲν θῆλυ τὸ ζῴδιόν ἐστι περὶ νόσου μόνης φοβοῦ καὶ μάλιστα τῶν ὀφθαλμῶν, εἰ δ' ἄρσεν, τὴν πρᾶξιν τοῦ βίου ταράσσει, εἰ δὲ καὶ στηρίζῃ, ἔτι μᾶλλον· τέκνων γὰρ ἀποστερεῖ καὶ ἀδελφοὺς θανατοῖ, κινδύνους καὶ θορύβους ἐπάγει καὶ εἰς ἀλλοδαπὴν ἀπάγει ἢ τὴν οἰκίαν μετήμειψε καὶ ἀπὸ ἄλλου ἔργου ἄλλο ἔργον ἔδωκεν, εἰ μὴ τοῦ Κρόνου τὸ ζῴδιον τύχῃ καὶ ταῦτα κωλύσῃ· ἐν δὲ τοῖς κέντροις πᾶσι χαλεπός, ἀστασίας ἐπάγων καὶ ταραχὰς ἐν τοῖς οἴκοις καὶ τῷ βίῳ λύπας καὶ μάλιστα διὰ γάμον ἐν τῷ δύνοντι· καὶ γὰρ καὶ ὠμοτοκίας ποιεῖ· εἰς δὲ τὸ μεσουράνημα τὴν κοίτην τῶν συζύγων αἰσχύνουσιν ἢ καὶ νόσους ἐν τούτῳ τῷ κέντρῳ παρέχει.

Ὁ Ἥλιος εἰς Κρόνον ἀρχαίων μνήμας ἐπάγει καὶ τῷ βίῳ τε πλοῦτον καὶ χαράν· ὁ Ἥλιος εἰς Δία μέγα κῦδος ὀπάζει καὶ φήμας καλὰς καὶ εὐφροσύνας καὶ ἐξ ἀφανῶν ἐμφανεῖς ποιεῖ. ὁ Ἥλιος εἰς Ἄρην νόσῳ κατακλίνει ἢ τῆς πατρίδος μετανιστᾷ, χρήματα φθείρει καὶ ἀκουσίους ζημίας ποιεῖ καὶ τοῖς φίλοις ἐχθρὸν καὶ ἐξ ἰδίων ταραχὰς ἐπεγείρει, εἰ μὴ καὶ ὁ Ζεὺς κατ' ἐπέμβασιν ἐκεῖ γένηται. ὁ Ἥλιος εἰς ἑαυτὸν ἢ τὴν

5 τὸν Δία B. 7 δ' ἐγκύαις B : δεγγύοις A. τάχιον B. 10 χολὴν B. 11 σιδήρων A. 12 πνῆξιν B. 15 τε καὶ A : καὶ B. 16 ἄχθος A. 17 χολὴν B. 20 δολίας B. 21 φυγάδ... A. An φυγαδείας vel φυγάδας καὶ δεσμίους? 24 ἀποστεροῖ A. 25 οἰκείαν A. 26 εἰς ἄλλο B. 28 τῶν βίων A. 33-34 ὁ Ἥλιος - ποιεῖ omis. A. 35 φθείρη A. 36 ἐγείρει A.

Digitized by Google

Σελήνην, νόσους καὶ ἀχρημοσύνας ποιεῖ καὶ ἐκ τῶν ἰδίων τόπων κινεῖ· πολλάκις δὲ καὶ ἐκ τῶν θλίψεων πλοῦτον φέρει. ὁ Ἥλιος εἰς Ἀφροδίτην ἀκαταστασίας αἴτιος, ταράσσει τὸν οἶκον χάριν γυναικῶν, εἰς δὲ τὰς δόσεις κέρδη παρέχει. ὁ Ἥλιος εἰς τὸν Ἑρμῆν πλανᾷ τὸν νοῦν καὶ τὴν ψυχὴν λυπεῖ ἀπατῶν καὶ δαπάνας ματαίας ποιῶν· ὁ Ἥλιος εἰς τὰ κέντρα ἀπὸ τῶν οἴκων εἰς ἄλλους τόπους μετανιστᾷ καὶ νόσους ποιεῖ καὶ τὸ σῶμα χαλεπαίνει, ἐν δὲ μεσουρανήματι πρῆξιν καὶ κῦδος ὀπάζει.

Ἡ Ἀφροδίτη εἰς Κρόνον ἐπίκτησιν δηλοῖ καὶ δόξαν ἐν τῷ δήμῳ καὶ ἐκ κρυφίων βοηθεῖ, ἀλλ' εἰς τὸν γάμον κακοεργός· ἀναστατοῖ γὰρ ἢ ἄλλως

λέχος ἀντήλλαξε καὶ ἥττονι φωτὶ συνῆψεν.

ἡ Ἀφροδίτη εἰς Δία, πέψεις, κινδύνους, νόσους, ἔχθρας, κρίσεις διὰ τοὺς οἰκείους καὶ ἐν τοῖς οἴκοις καὶ τοῖς οἰκείοις φιλονεικίας· εἰ δὲ ἡ τούτου γυνὴ ἔγκυός ἐστιν, ἐκτιτρώσκει. ἡ Ἀφροδίτη εἰς τὸν Ἄρην στάσεις καὶ δαπάνας ἐκ γυναικῶν καὶ τόπου μετανάστασιν καὶ ταραχὰς εἰς τὸν βίον. ἡ Ἀφροδίτη εἰς Ἥλιον ἀκαταστασίαν ποιεῖ καὶ τὸν νοῦν πλανᾷ καὶ τὰς πράξεις καὶ ῥαθυμίας ποιεῖ καὶ ψόγους καὶ στάσεις ἐν τοῖς οἰκείοις. ἡ Ἀφροδίτη εἰς ἑαυτήν, κοινή ἐστι καὶ ἐπίμοχθος, πῇ μὲν ἀγαθή, πῇ δὲ φαύλη. ἡ Ἀφροδίτη εἰς τὸν Ἑρμῆν κληρονομίας δηλοῖ καὶ κτήματα αὐξάνει καὶ τέλος ἐν ταῖς πράξεσιν ἐπιτίθησιν· καὶ ἐν δίκαις νίκας παρέχει. ἡ Ἀφροδίτη εἰς τὴν Σελήνην εὐφροσύνην δηλοῖ καὶ ἐν πράξεσι τέρπει, κέρδος ἄμοχθον διδοῖ καὶ γάμῳ συζεύγνυσι, καὶ τεκνογονίαν ἐν θηλυκῷ ζῳδίῳ οὖσα ποιεῖ. ἡ Ἀφροδίτη εἰς ὡροσκόπον καὶ μεσουράνημα ἱλαρὰ καὶ φαιδρὰ καὶ εὔπρακτος καὶ πλείονα τὴν κτῆσιν καὶ τὰ κέρδη ποιεῖ, εἰ δὲ καὶ στηρίζει ἔτι πλέον. ἡ Ἀφροδίτη εἰς τὸ δῦνον στάσεις ἐκ γυναικός. ἡ Ἀφροδίτη εἰς τὸ ὑπόγειον κρυπτὰ πάθη καὶ λύπας ἐξ ἀλόχων, εἰ δὲ καὶ στηρίζει, καὶ μορίων <καὶ> ἔδρας πάθη ποιεῖ καὶ τῶν κοσμίων ἀπώλειαν καὶ δάκρυα ἐπιφέρει τοῖς οἴκοις.

Ὁ Ἑρμῆς εἰς τὸν Κρόνον αὔξει τὰς πράξεις καὶ τὴν κτῆσιν, τοὺς δὲ ἐχθροὺς βλάπτει· ὁ Ἑρμῆς εἰς Δία πάντῃ ἀγαθός, ἐξ ἐμπορίας κέρδη διδοὺς καὶ φίλους ποιῶν ἐμφανῶν καὶ δόξαν ἐν οἴκοις παρέχων καὶ κράτος. ὁ Ἑρμῆς εἰς Ἄρην ἐμπράκτους δηλοῖ καὶ τῶν φόβων ἀπολύει καὶ τέλος τοῖς πόνοις ἐπιτίθησιν. ὁ Ἑρμῆς εἰς Ἥλιον ἄστατος εἰς τέχνην καὶ πρᾶξιν, ἕως διέλθοι τὰς μοίρας τοῦ Ἡλίου, μετὰ τοῦτο

4 ὁ Ἥλιος εἰς τὸν B : εἰς δὲ τὸν A. 10 ἐκτρυφίων A. 12 λέχος ἀντήλαξε A : λέχη ἀντήλλαξε B. 13 τὸν ante Δία add. A. 14 οἴκους A. An οἴκους καὶ οἰκείους? ὁ τούτου A. 15 ἔγγυος codd. 16 ταραχὴν A. 17 ἀκαταστασίας A. 20 ἀγαθά ... φαῦλα A. διδοῖ B. 22 τὴν ante Σελήνην omis. A. διλοῖ A : διδοῖ B, corr. 23 συζεύγνυσιν A : συζευγνύει (Kroll) vel συνεγγύει (Olivieri) B. 26 στηρίζῃ B. 28 καὶ suppl. 32 ἐμπηρείας A. 33 ἐμφανεῖς codd. 36 μ' μ' A : μ' μοίρας B.

Digitized by Google

γὰρ εὔπρακτος. ὁ Ἑρμῆς εἰς Ἀφροδίτην πλοῦτον καὶ ἀλλότρια χρήματα δωρεῖται καὶ κλῆρον ἐκ τεθνεώτων,

ἐκ δ' ἀλόχων πηῶν τε φιλοφροσύνην κατὰ δῶμα,

ποιεῖ δὲ φίλους παίδων καὶ δούλων. ὁ Ἑρμῆς εἰς Σελήνην, τοῖς μὲν οἰκείοις στάσεις καὶ τὸν δῆμον ταράσσει καὶ ἐν ἀγοραῖς ψεύδη καὶ φιλονεικίας καὶ διαβολὰς ἐγείρει, ἐκτὸς εἰ μὴ ἀγαθὸς ἴδοι. πολλάκις γὰρ οὕτως ἐπιθεωρήσας ἀγαθὸς ἐπικερδῆ τὴν τούτου τέχνην πεποίηται. ὁ Ἑρμῆς εἰς τὸν ὡροσκόπον καὶ τὸ μεσουράνημα φιλίαν μεγιστάνων καὶ πίστιν ἐκ λόγων καὶ ἐν δήμοις τιμάς· εἰς δὲ τὸ δῦνον λύπας καὶ ἔχθρας, φροντίδας, κρίσεις, διὰ δάνεια οἰκτρά, εἰς δὲ τὸ ὑπόγειον χεῖρον κινδύνους καὶ βλάβας ἐκ κρυφίων καὶ παλαιῶν.

Ἡ Σελήνη εἰς μὲν τὸν Κρόνον καὶ Ἄρην ἀργίαν ὄκνον καὶ ζημίας καὶ κινδύνους ἀφ' ὕψους ἢ ἀφ' αἵματος· τὸ μὲν ἐκ τοῦ Κρόνου τὸ δὲ ἐκ τοῦ Ἄρεως· ἐν δὲ τοῖς ἄλλοις ἀστράσι καλή. ἡ Σελήνη εἰς τὸν Ἥλιον ἢ εἰς ἑαυτὴν

νωχελίην θυμοῦ καὶ ἀεργείην ἅμ' ὀπάζει,

ἐν δὲ τοῖς κέντροις ἐνίοτε μετοικίας ποιεῖ.

Οὐ χρὴ δὲ μόνας ταύτας τὰς ἐπεμβάσεις σκοπεῖν, ἀλλὰ καὶ τὰς κατὰ τρίγωνον καὶ τετράγωνον καὶ διάμετρον καὶ ἑξάγωνον· οἷα γὰρ ἐν τῇ γενέσει κατὰ πῆξιν σημαίνει, τοιαῦτα καὶ ἐν ταῖς ἐπεμβάσεσιν· οἷον

Ζῆνα τριγωνίζων Φαίνων μάλα γ' ἐσθλὸς ὑπάρχει

καὶ

Πυρόεντι τρίγωνος ἐὼν Φαίνων μεγ' ἄριστος.

[W. K. et A. O.]

Ἔτι περὶ ἐπεμβάσεων <*Anubionis*>[1].

Ὁ Κρόνος ἐπεμβὰς εἰς τὸν Δία νόσους ἢ καμάτους ποιεῖ αἰφνιδίους ἢ πενίαν ἢ πρὸς συγγενῆ πρόσωπα ταραχὰς καὶ φόνους. ὁ Ζεὺς εἰς τὸν Κρόνον ἀγαθός· ὁ Κρόνος εἰς Ἄρεα ἔχθρας καὶ κακοφροσύνην ποιεῖ

1 ἔμπρακτος A. 3 ἀλέχων A. ποιῶν B. 6 καὶ διαβολὰς καὶ φίλον A. ἴδη A. 7 οὕτος A. ἀγαθὸν A. 9 τιμίας A. 12 ἀργίαν οἴκου A. 14 τὸν om. A. 16 νοχελίην B : νωχελίων A. 19 καὶ ante διάμετρον omis. A. 21 signum trigoni cum ων superscr. codd. ὑπάρχεται codd. 23 ὧν φαένων codd. : corr. (nisi fuit Φαέθων). 25 Marcianum 335 (B) descripsit Olivieri. Marcianum 334 (A), f. 171ᵛ, contulit Cumont. Περὶ ἐπεμβάσεων τῶν ἀστέρων A. 26 εἰς omis. B. 27 συγγενικά B. 28 τὸν ante Κρόνον omis. : εἰς Κρόνον iter. A. Ἄρεα A : Δία B.

[1] [Haec Anubionis esse sicut capitulum quod in codd. 334, f. 173ᵛ; 335, f. 140ᵛ sequitur (infra, p. 204), disticha in paraphrasi servata aperte monstrant. Solus enim astrologorum quos noverunt Byzantini Anubio hoc metro usus est. Cf. Kroll, *Philol. N. S.*, XI, 132. F. C.]

Digitized by Google

καὶ ἀπραξίας καὶ κόπους ἀνωφελεῖς. ὁ Ἄρης εἰς Κρόνον νίκας παρέχει, καὶ πράξεις καὶ ἡδίστην ζωήν. ὁ Κρόνος εἰς Ἀφροδίτην,

πολλάκις ἀζυγίας ὥλεσεν ἠϊθέους,

ἢ ζῆλον φέρει εἰς γαμετὰς ἢ βλάβην εἰς οἶκον ἢ δόλον, λύπην, νόσον, θάνατον ἢ φάρμακα ἢ στομάχων ἢ ἄρθρων πόνους ἢ πρότερα τέκνα βλάπτει· εἰ δὲ μηδὲν τούτων γένηται, ἄλλως θυμωθέντα εἰς κόπον ἐνέβαλε τὸν ἄνθρωπον. ἡ Ἀφροδίτη εἰς Κρόνον εἰρηνοποιεῖ τὰς γυναῖκας τοῖς ὁμευνέταις καὶ ἐκτὸς δόλου καὶ πόνου καὶ λύπας ποιεῖ καὶ ψόγον καὶ τοῖς μὲν γήμασι σωφροσύνην, τοὺς δὲ ἀζεύκτους ζευγνύει· ὁ Κρόνος εἰς Ἑρμῆν ἢ νόσον ἢ θάνατον σημαίνει ἀπὸ δ' αἰζηῶν ἀγαθῶν τὰ μέγιστα διδοῖ, ἡνίκα τῷ Κρόνῳ ἐπιβῇ, τουτέστι Ἑρμῆς εἰς τὸν Κρόνον. ὁ Κρόνος εἰς τὸν ὡροσκόπον ἐπιβὰς καὶ διαμετρῶν αὐτὸν ἐνίοτε τοὺς νεωτέρους θανατοῖ· τότε δὲ τοῦτο ποιεῖ, ὅταν καὶ χρονοκράτωρ ἐστὶ τῆς ὥρας ἡ Ἀφροδίτη· αἱ γὰρ ἐπισημασίαι τῶν ἀποτελεσμάτων τότε εἰσὶ βέβαιοι, ἡνίκα οἱ ἐπεμβαίνοντες καὶ χρονοκράτορες ὦσιν. ὁ Ζεὺς ἐπεμβὰς εἰς Ἄρην ἀγαθός· ὁ δὲ Ἄρης εἰς Δία, φαῦλος· ἀλλ' οὐκ ἀεὶ ὁ Ἄρης ἐπεμβαίνων τῷ Διὶ φαῦλα ἀποτελεῖ, ἀλλ' ὅταν διάμετρός ἐστι τῷ Ἡλίῳ. ὁ Ζεὺς εἰς Ἀφροδίτην καὶ μάλα χαίρει· ὄφελος γὰρ τῶν κόπων καὶ κέρδος διδοῖ. ἡ Ἀφροδίτη εἰς Δία οὐ πάνυ χαίρει· ἀχαριστίας γὰρ ποιεῖ καὶ ματαίας ἐλπίδας. ὁ Ζεὺς εἰς Ἑρμῆν καὶ ὁ Ἑρμῆς εἰς Δία πάνυ ἐπίδοξα καὶ ἐπικερδῆ καὶ μάλιστα τοῖς ἑρμαϊκὰ ἔργα μετιοῦσι· κἂν γὰρ διάμετροι ἀλλήλοις ὦσιν, οὐδὲν ἧττον ὠφελοῦσιν. ὁ Ἄρης εἰς Ἀφροδίτην ζῆλους γυναικείους καὶ ταραχὰς <ποιεῖ> καὶ τὰς ἐγκύους βλάπτει ὠμοτοκίας ἐπάγων. ὁμοίως καὶ Ἀφροδίτη εἰς Ἄρην πλὴν ἥττων ἡ βλάβη,

Κύπριδι γὰρ χαίρει νικώμενος ὄμβριμος Ἄρης.

Ὁ Ἄρης εἰς Ἑρμῆν ἢ βλάβην ἢ νόσον καὶ ἐν πᾶσι τοῖς ἄλλοις κακός,

οὐδὲ φέρει νίκην ἀνδρὶ δικαζομένῳ.

Ὁ Ἑρμῆς εἰς Ἄρην νίκην ἐπάγει τοῖς δικαζομένοις καὶ οὔτε νόσος οὔτε βλάβη ἔσται, ἐν δὲ ταῖς ἐμπορίαις κακός. ἡ Ἀφροδίτη εἰς Ἑρμῆν εἰς πάσας πράξεις καλή· ὁ Ἑρμῆς δὲ εἰς Ἀφροδίτην κρείττων εἴς τε βίον καὶ τέχνην καὶ γάμον καὶ φιλίαν,

κἀν ἄλλοις ἔργοισιν ὀνήμονες· ἔξοχα δ' αὐτὸς
θήκατο κερδαλέην ἀνδράσιν ἐμπορίην,
ἐν δὲ δικασπολίῃ μάλα καίριος· ἀνέρι δ' αὐτός
νίκην ἱμερτὴν δῶκε δικαζομένῳ.

A. O.

8 ὁμέταις A. l. καὶ λύπης ... καὶ ψόγου? 12 ἐπεμβὰς A. 13 θανατεῖ B. χρονοκρατορ, σ superscr., ut vid. A. 14 τῆς ὥρας] τοῦ ὡροσκόπου codd.: corr. 23 ποιεῖ inser. ἐγγύους codd.: corr. 24 ἥττους ων (sic) A. 27 ἔμπασι A. 33 κἀν corr.: καὶ δ' codd. 36 δικαζομένων A. In codice A sequuntur sine intermissione (f. 172) excerpta quaedam quorum primum incipit: Ἰστέον ὅτι ἐνιαυτὸς πεσὼν εἰς τὸν ια'

Digitized by Google

F. 140v. ρϛγ'. Περὶ τῶν πρὸς ἀλλήλους σχηματισμῶν τῶν ἀστέρων, ἐκ τῶν Ἀνουβίωνος[1].

Ὁ Κρόνος Δία τριγωνίζων πολυκτημοσύνην ποιεῖ καὶ πολυχρύσους καὶ πολυαρτύρους καὶ ἱερῶν προεστῶτας καὶ φόρων πράκτορας, ἐπιτρόπους, ἀλλοτρίων κληρονομοῦντας, πιστούς, ὑπὸ μεγάλων ἀνδρῶν τιμωμένους. καλὸν δὲ τοῦτο τὸ σχῆμα καὶ πρὸς πατέρας. εἰ δὲ τριγωνίζοντας ἀλλήλους ἴδοι ὁ Ἑρμῆς, μυστικοὺς σημαίνει καὶ γνωστικοὺς ἢ βασιλεῦσιν ὑπηρετουμένους ἢ πόλεσιν ἢ λειτουργοὺς καὶ θύτας· ἀνατρέφουσι δὲ καὶ ἀλλότρια τέκνα οἱ τοιοῦτοι, ὅταν ἐπὶ καλῶν τόπων ἱστάμενοι τύχωσι· τῶν μέντοι ἰδίων τέκνων οὐκ ἀπολαύουσιν· ἢ γὰρ ἀεὶ τελευτῶσιν οἱ γεννώμενοι ἐν τούτῳ τῷ σχήματι, ἢ ἐν ἀλλοτρίοις τραφέντες ὕστερον ἐπανίασι πρὸς τοὺς γονεῖς. εἰ δὲ τοῦ Κρόνου καὶ τοῦ Διὸς κατὰ τρίγωνον ὄντων καὶ ὑπὸ τοῦ Ἑρμοῦ μαρτυρουμένων ὁ Ἄρης ἴδοι αὐτούς, ἐλαττωθήσεται τὰ εἰρημένα πάντα, ἕξουσι γὰρ φθόνους καὶ μέμψεις ἐν ταῖς πράξεσι καὶ διαβολὰς καὶ ἐναντιώματα πολλά.

Ὁ Κρόνος τριγωνίζων Ἄρην εἰ καὶ Ζεὺς μὴ ὁρᾷ μήτε ὁ Ἑρμῆς, εὔποροι γίνονται καὶ ἐνεργεῖς καὶ δυνατοὶ ἐν ταῖς πράξεσι καὶ ἐν ταῖς πόλεσι δὲ ὁμοίως· πλὴν οἱ πρὸ αὐτῶν ἀδελφοὶ προτελευτῶσιν.

Ὁ Κρόνος Ἥλιον τριγωνίζων ἐπὶ ἡμερινῆς γενέσεως προκοπὰς ποιεῖ καὶ δόξας καὶ γνωστούς, ἐπισήμους ἄνδρας, οὐ τοὺς γεννηθέντας μόνους ἀλλὰ καὶ τοὺς πατέρας· διότι ὁ Ἥλιος καὶ ὁ Κρόνος τὸ πατρικὸν ἐπέχουσι πρόσωπον· ἐπὶ δὲ ἡμέρας εἰ ἐπὶ ἀρρενικοῖς εἶεν ζῳδίοις καὶ ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, πολὺ κρεῖττον τὸ διάθεμα· ἐπὶ δὲ νυκτερινῆς γενέσεως τοὺς μὲν γεννηθέντας, ἀφ' ἑαυτῶν πορίζοντας ποιεῖ· τὰ δὲ τῶν γονέων οὐ συντηροῦσι.

Ὁ Κρόνος Ἀφροδίτην τριγωνίζων εὐσταθῆ τὸν βίον καὶ σεμνότητα· οἱ τοιοῦτοι δὲ ἀπὸ τῶν καταδεεστέρων φθονοῦνται, βραδύγαμοι μέντοι γίνονται.

Ὁ Κρόνος Ἑρμῆν τριγωνίζων συνετοὺς καὶ ἐμπείρους καὶ ταῖς γνώ-

τόπον ... Deinde Ἰστέον δὲ ὅτι ἀγαθοποιὸς μερίζων τοὺς χρόνους ... ὁ Οὐάλης δέ φησιν ὅτι ὁ καθολικὸς χρονοκράτωρ κατὰ πῆξιν κακῶς κείμενος· ὑπὸ κακοποιῶν ὁρῶμενος ἐν ταῖς τῶν κακοποιῶν λεπτομερέστερον ἐπιδιαιρέσεσιν ... et alia quae ad hoc argumentum pertinere non videntur. Desinunt f. 173r ... πλὴν ἀγαθοποιῶν μαρτυρούντων ἥττον τό δεινόν. 1 Marcianum 335 (A) descripsit Olivieri; Marcianum 334, f. 173r (B) contulit Cumont. Περὶ τῶν σχηματισμῶν τῶν πρὸς ἀλλήλους τῶν ἀστέρων, in marg. τοῦ Ἀνουβίωνος B. 5 κληρονομούντων A. 7 ἴδη B. 13 Ἑρμοῦ B : Κρόνου A. 14 ἴδη B. 18 πλὴν e corr. B. 20 ἐπισήμοις codd. ἀνδράσι A. 21 ὁ ante Κρόνος omis. A. 22 εἶεν A : ὦσι B. 24 νυκτὸς A. 29 ἐμπορίας A.

[1] Cum hac Anubionis paraphrasi confer excerpta anonyma quae ex codice 6 edidit Kroll (p. 159 ss.), ubi plura dictionis epicae vestigia servata sunt.

Digitized by Google

μαις βεβαίους· αἱ δὲ τούτων πράξεις ἀπὸ λόγων καὶ ψήφων ἢ ἐμπειρίας, ὅθεν αὐτοῖς ὁ βίος αὐτάρκης.

Ὁ Κρόνος Σελήνην τριγωνίζων συστάσεις ποιεῖ μεγάλας, πρὸς βασιλεῖς καὶ ἄρχοντας γνωρίζων καὶ ἐνδόξους ποιῶν καὶ μᾶλλον αὐξι-
5 φωτούσης τῆς Σελήνης· λειπούσης γὰρ αὐτῆς πολλὴν μείωσιν ἕξει τὰ εἰρημένα.

Ὁ Ζεὺς Ἄρεα τριγωνίζων ἀρχικούς, δράστας, παρ' ἡγεμόσι τιμωμένους ποιεῖ.

Ὁ Ζεὺς Ἥλιον τριγωνίζων πλουσίους, ἐνδόξους, ἀρχικοὺς ποιεῖ καὶ
10 τέκνων ἐστὶ δοτὴρ καὶ εὐγαμίας αἴτιος, καὶ βίον ἐπίσημον παρέχει.

Ὁ Ζεὺς Ἀφροδίτην τριγωνίζων χαρίεντα καὶ ποθεινὸν ποιεῖ, παρὰ φίλων προκόπτοντα ἢ γυναικῶν.

Ὁ Ζεὺς Ἑρμῆν τριγωνίζων φρονίμους, ἐπινοητικούς, ἐμπράκτους, παρὰ πολλῶν εὐδοκιμοῦντας· τούτων δὲ ἡ πρᾶξις ἀπὸ γραμμάτων ἢ
15 δημοσίων χρειῶν ἢ βασιλικῶν ὑπηρεσιῶν· τινὰς δὲ καὶ ἀστρονόμους ἐπισήμους σημαίνει.

Ὁ Ζεὺς Σελήνην ἰδὼν ἐνδόξους καὶ ἐμφανεῖς ἡγεμόνας ἢ δικαστάς, τοὺς μὲν δημηγόρους τοὺς δὲ στρατιωτικοὺς ποιεῖ, καὶ μᾶλλον αὐξιφωτούσης τῆς Σελήνης· εἰ δέ ἐστιν ἡ Σελήνη ἀφαιρετική, οὐκ αὐτοὺς
20 αὐθέντας ποιεῖ ἀλλὰ τοιούτοις προσώποις ὑπηρετουμένους.

Ὁ Ἄρης Ἥλιον τριγωνίζων ἀρχικοὺς ποιεῖ· εἰ δὲ καί ἐστιν ἡ γένεσις ἡμερινὴ καὶ τὸν μὲν δεξιὸν τόπον ὁ Ἥλιος κατέχει, τὸν δὲ λαιὸν ὁ Ἄρης, ἔτι βέλτιον τὸ σχῆμα· ἡγεμόνες γὰρ οὗτοι καὶ δυνάσται γίνονται.

Ὁ Ἄρης Δία τριγωνίζων τοῦ Διὸς ἐπικέντρου ὄντος καὶ τῆς Σελήνης
25 καλῶς ἑστώσης στρατιώτας ἐπισήμους ποιεῖ, ζωῆς καὶ θανάτου κυρίους, καὶ μᾶλλον ὅταν ἐπὶ ἀρρενικῶν ὦσι ζῳδίων· τὰ γὰρ ἀρρενικὰ ἐπὶ ἐξουσίας καὶ ἡγεμονίας παραλαμβάνονται, τὰ δὲ θηλυκὰ ἐπὶ ὑποταγῆς.

Ὁ Ἄρης Ἀφροδίτην τριγωνίζων, ἐμπόρους, εὐγάμους, φιλοκόσμους καὶ μεγαλόφρονας· οἱ τοιοῦτοι δὲ πολλῶν γυναικῶν λέχη θηρῶσιν, ἤτοι
30 μοιχοὶ γίνονται.

Ὁ Ἄρης τριγωνίζων Ἑρμῆν ἐμπράκτους καὶ συνετοὺς εἴς τε λόγους καὶ ἔργα, ἐπιτευκτικούς τε καὶ ὀξεῖς, ἐκ ψήφων ἢ γραμμάτων τὸν βίον συλλέγοντας.

Ὁ Ἄρης Σελήνην τριγωνίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως, λειψιφω-
35 τούσης <τῆς> Σελήνης, ἔμπρακτοι καὶ ἐπιτευκτικοὶ γίνονται, καὶ πάντων ὧν βουλεύσονται περιγίνονται· εἰ δὲ καὶ Ζεὺς αὐτοὺς ἴδῃ, ἔσονται ἀρχικοί, ἔνδοξοι, μεγάλα δυνάμενοι· ἐπὶ δὲ νυκτερινῆς γενέσεως

4-5 αὐξηφωτούσης B et sic semper. 5 λειπούσης B : λέγουσιν A. ἕξειν A. 7 δράσας A. 11 ποθεινὰ A. παρὰ A : περὶ B. 18 δημηγόρους corr. Kroll : δήμου codd. στρατιῶτας A. 22 ἡμερινῆς codd., corr. 26 ὅτε A. 28 Ἀπ εὐπόρους? 31-32 εἴς ... ἔργα omis. A. εἴτε B, corr. 34 ἡμέρας codd. ; corr. λειψηφωτούσης B : λυψιφωτούσης A. 35 τῆς inser. ἔπρακτοι sic B. 36 βουλήσονται mavult Kroll. περιγίνεται B. 37 δυναμένους codd. νυκτερινῆς corr. : ἡμέρας codd.

Digitized by Google

ὁ Ἄρης τριγωνίζων Σελήνην οὖσαν ἐν τῷ ὑπεργείῳ βλάπτει καὶ σῶμα καὶ βίον, εἰ μάλιστα αὐξιφωτοῦσα ἡ Σελήνη.

Ὁ Ἥλιος τριγωνίζων Σελήνην καλὸν τὸ σχῆμα καὶ μάλιστα ὑπὸ Διὸς Ἀφροδίτης ὁρωμένης.

Ἡ Ἀφροδίτη Σελήνην τριγωνίζουσα, πραεῖς ποιεῖ καὶ ἱλαρούς, εὐμόρφους, τοὺς μέντοι γάμους ἀβεβαίους δηλοῖ.

Ὁ Ἑρμῆς Σελήνην τριγωνίζων δηλοῖ εὐμαθεῖς γενέσθαι καὶ συνετούς.

Περὶ τετραγώνων.

Ὁ Κρόνος Δία τετραγωνίζων, τοῦ Κρόνου καθυπερτεροῦντος, ἐλαττοῦται ἡ ὕπαρξις· αὐτοὶ δὲ ἐναντία ἑαυτοῖς βουλεύονται καὶ ἐν ταῖς πράξεσιν ἐμποδίζονται ἢ ἀνάστατοι γίνονται· τόν τε πατέρα βλάπτει τοῦτο τὸ σχῆμα καὶ τὰ πατρικὰ πάντα ἀφανίζονται. εἰ δὲ Ζεύς ἐστιν καθυπερτερῶν τὸν Κρόνον, ἥττων ἡ κάκωσις· τῷ τε γὰρ πατρὶ εὔκλειαν δώσει καὶ τῷ παιδὶ βίου πορισμὸν κατὰ τὸ μέτρον τοῦ σχήματος καὶ τῆς θέσεως.

Ὁ Κρόνος Ἄρεα τετραγωνίζων τοῦ Κρόνου καθυπερτεροῦντος ἀτακτοῦσι, τῷ δὲ σώματι ἔσονται φρικώδεις καὶ νοσεροί, ἐνίοτε καὶ ῥίγει καὶ πυρετῷ δαμάζονται· τὰ πατρικὰ δὲ κτήματα ὄλλυνται. οἱ δὲ τοιοῦτοι καὶ θανάτους ὁρῶσι τῶν ἀδελφῶν· εἰ δὲ ὁ Ἄρης καθυπερτερεῖ τοῦ Κρόνου πάντως οἱ πατέρες πρὸ τῆς μητρὸς τελευτῶσιν, αὐτῷ δὲ ἔσονται τῷ βίῳ μερικῶς ἐνεργεῖς καὶ ἔμπρακτοι, πλήν, ὡς εἴρηται, τῶν πατρικῶν κτημάτων τὸ σχῆμα ὀλέθριον· οἱ τοιοῦτοι καὶ ἀπὸ τῶν οἰκείων φθονοῦνται.

Ὁ Κρόνος Ἥλιον τετραγωνίζων τοῦ Κρόνου καθυπερτεροῦντος, ἔκπτωσις ἔσται τοῖς πατράσι ἢ σπασμός· πρὸ δὲ τῶν μητέρων οἱ πατέρες τελευτῶσι, σφάλλονται δὲ καὶ οἱ παῖδες ἐν πολλαῖς περιπίπτοντες ταῖς βλάβαις καὶ σωματικαῖς ὀχλήσεσιν, τὸ δὲ πλεῖον ῥιγοπυρέτοις· εἰσὶ δὲ καὶ περὶ τὰς πράξεις ψυκτικοί, τοῦ δὲ Ἡλίου καθυπερτεροῦντος τὸν Κρόνον, σκορπίζονται τὰ πατρῷα, τοὺς δὲ ἐχθροὺς τοῖς οἰκείοις ποιεῖ καὶ τὰς πράξεις ἐλαττοῖ καὶ ἐπαλλήλοις νόσοις περικυλίει ἀσήμους τε τῷ βίῳ καὶ ἐν ταῖς οἰκείαις πόλεσιν ἀγνοουμένους.

Ὁ Κρόνος τετραγωνίζων Ἀφροδίτην τοῦ Κρόνου καθυπερτεροῦντος ἐκπτώσεις γίνονται καὶ ἐκ θηλυκῶν προσώπων κακὰ πολλὰ καὶ πένθη· οὗτοι τὰ πολλὰ ἀτυχοῦσιν ἐν οἷς ἐπιβάλλονται, καὶ ἐν γυναιξὶν οὐκ ἔχουσι χάριτας. εἰ δὲ ἡ Ἀφροδίτη καθυπερτερεῖ τὸν Κρόνον, ἐνδόξους

2 scr. αὐξιφωτεῖ? 4 Ἀφροδίτη ὁρώμενος codd. 9 Περὶ τετραγώνων omis. B. 11 ἐναντίοι ἑαυτῶν A. 15 δίδωσι A : vestigium poeticae formae superest. κατὰ B : καὶ A. 17-24 Verba ὁ Κρόνος Ἄρεα ... φθονοῦνται omis. A. 19 ὄλυνται cod. 21 l. τὸν Κρόνον? μητρῶν A. 22 μερικῶς] μετρίως coni. Kroll. 28 βλάβεσι (omisso ταῖς) A : βλάβαισι scripserat Anubio. 30 οἰκίοις A. 34 ἔκπτωσις γίνεται A. 36 ἡ ante Ἀφροδίτη omis. A.

Digitized by Google

δίδωσι γάμους καὶ γυναῖκας ἀρχικάς, εὐνοϊκὰς καὶ φιλοστόργους, αἳ καὶ πάνυ ὑπὸ ἀνδρῶν φιληθήσονται.

Ὁ Κρόνος τετραγωνίζων Ἑρμῆν, τοῦ Κρόνου καθυπερτεροῦντος, ψύξεις περὶ τὰς πράξεις καὶ ἐναντιότητες πολλαὶ ἔσονται καὶ ἐναν-
5 τιογνωμίαι· ἔσονται δὲ οἱ τοιοῦτοι ἐν τοῖς ἔργοις ὑπ' ἄλλων κυριευόμενοι, οἱ δὲ βάσκανοι γίνονται, ἄλλοι τραυλοὶ ἢ κωφοί. εἰ δὲ ὁ Ἑρμῆς καθυπερτερεῖ τὸν Κρόνον, ἥττονα τὰ προειρημένα ποιεῖ.

Ὁ Κρόνος Σελήνην τετραγωνίζων τοῦ Κρόνου καθυπερτεροῦντος κακοθάνατος ἡ μήτηρ καὶ ὁ παῖς ἐν νόσοις πολλαῖς καὶ κινδύνοις ἔσσε-
10 ται καὶ συνεχέσι ῥευματισμοῖς· ἐπὶ δὲ ζῳδίων θηλυκῶν ἔτι χεῖρον· εἰ γὰρ ᾗ τούτῳ πεπρωμένος ὁ γάμος, δύσγονόν τε γυναῖκα λήψεται καὶ οὔτε φίλοι οὔτε τέκνα τούτῳ ἔσονται. τούτων δὲ καὶ ὁ βίος ἐλαττοῦται. εἰ δὲ ἡ Σελήνη τὸν Κρόνον καθυπερτερεῖ, πρός τε τῷ ἀπράκτους ποιεῖν καὶ ἐχθροὺς ταῖς μητράσι δείκνυσιν καὶ τὰ μητρικὰ φθείρει καὶ ῥεύματα
15 κινεῖ.

Ὁ Ζεὺς τετραγωνίζων Ἄρεα Ἄρεως Δία καθυπερτεροῦντος δόξα καὶ τιμὴ ἕπεται τούτοις καὶ σύστασις, οἱ μὲν ἐν στρατιαῖς διαπρέπουσιν, οἱ δὲ ἐν βασιλικαῖς αὐλαῖς ἀναστρέφονται ἢ ἐν δημοσίαις πράξεσι, πλὴν τὰ μητρικὰ ἢ πατρικὰ οὐ φυλάττονται καὶ ἐπὶ τέκνοις λύπαι ἔσονται ἢ
20 σπανότεκνοι γίνονται. εἰ μέντοι ὁ Ἄρης τὸν Δία καθυπερτερεῖ, ὀξεῖς μὲν καὶ ὁρμητὰς πλὴν σφαλλομένους ἐν τῷ βίῳ ποιεῖ, καὶ μάτην κάμνοντας ἔν τε δημοσίαις ἢ βασιλικαῖς πράξεσι διαβαλλομένους καὶ κατηγορουμένους.

Ὁ Ζεὺς Ἥλιον τετραγωνίζων καὶ τῷ πατρὶ καὶ τῷ τεχθέντι καλός,
25 προκοπὰς γὰρ ἐπάγει· καὶ ἐν μεγάλοις ἀνδράσι συστάσεις, καὶ ἄλλων ἡγεμονεύοντας ποιεῖ. τοῦ δὲ Ἡλίου τὸν Δία καθυπερτεροῦντος, λαμπρὸς μὲν ὁ πατήρ· τὰ δὲ ὑπάρχοντα τούτων μειοῦται ἐν περιστάσεσι κοιναῖς· πολλάκις δὲ καὶ ἐξ ἀναστάσεως ἐχθρῶν τοῦτο γίνεται.

Ὁ Ζεὺς τετραγωνίζων Ἀφροδίτην τοῦ Διὸς καθυπερτεροῦντος,
30 πολλοὺς οἱ τοιοῦτοι φίλους ἕξουσιν, καὶ μάλιστα ἀπὸ θηλυκῶν προσώπων κερδανοῦσι καὶ ἀστεῖον βίον ἕξουσι καὶ θεοσεβεῖς ἔσονται· εἰ δὲ ἡ Ἀφροδίτη τὸν Δία καθυπερτερεῖ, ἐρωτικοὶ ἔσονται καὶ φιλόκοσμοι καὶ πρὸς τούτων τερπόμενοι· πολλὰ μέντοι οἱ τοιοῦτοι ἐναντία πείσονται καὶ ἀποτυχίας ἐν τοῖς ἔργοις.

35 Ὁ Ζεὺς Ἑρμῆν τετραγωνίζων τοῦ Διὸς καθυπερτεροῦντος γραμματικοὶ ἢ γεωμέτραι γίνονται· ἐνίοις δὲ ὁ βίος ἔσται ἀπὸ κοινῆς προστασίας καὶ αἱ πράξεις ἀστεῖαι. εἰ δὲ ὁ Ἑρμῆς τὸν Δία καθυπερτερεῖ, τῷ μὲν βίῳ οὐκ ἄποροι ἔσονται, πλὴν ἄκρατοι ἐν ταῖς πράξεσι καὶ ἐναντία ἑαυτοῖς ποιοῦντες· καὶ τὰ μὲν ἀγαθὰ ὡς κακὰ ἀποφεύγουσι, τὰ

9 ἔσεται codd. 11 δύσγονον A : δυ cum signo diametri B. 14-17 καὶ τὰ μητρικὰ ... διαπρέπουσιν omis. A. 22 δημοσίοις ἢ βασιλικοῖς A. 25 προκοπὴν A. 27-28 περιστάσει κοινῇ A. 34 ἀποτυχίαι A. 38 ἄπορροι A.

Digitized by Google

δὲ κακὰ αἱροῦνται ὡς ἀγαθά· πολλάκις δὲ οἱ τοιοῦτοι καὶ αὐτόματόν τι ἀγαθὸν ἐπελθὸν ἀποφεύγουσι, καὶ οὓς εὐεργετήσουσιν ὑπὸ τῶν τοιούτων ἀχαριστοῦνται, καὶ ἀμοιβὰς οὐ λαμβάνουσιν, ἀφ' ἑαυτῶν δὲ πορίζονται τὰ καλά.

Ὁ Ζεὺς Σελήνην τετραγωνίζων τοῦ Διὸς καθυπερτεροῦντος ἐπὶ ἡμερινῆς γενέσεως ἢ νυκτερινῆς, τῇ τε μητρὶ αἴσιον καὶ αὐτὸν κρείττονα τῶν γονέων ποιεῖ, καὶ ἐν τιμαῖς καὶ προεδρίαις δοξάζει καὶ εὐφημίαις. τῆς δὲ Σελήνης καθυπερτερούσης τὸν Δία δοξαστικὸν μὲν τὸ σχῆμα καὶ ἐν ἡγεμόσι συστάσεις ποιοῦν, πλὴν κατά τινας χρόνους βλάπτει, ἢ ἣν ἔχει πρᾶξιν, ἐνίοτε ἐλαττοῖ.

Ὁ Ἄρης Ἥλιον τετραγωνίζων τοῦ Ἄρεως καθυπερτεροῦντος, πολύνοσοι, ἀπρόκοποι· εἰ δὲ καὶ προκόψουσιν, ἀλλ' ἐναντιώσεσι πολλαῖς περιπεσοῦνται. τοῦ Ἡλίου μέντοι καθυπερτεροῦντος τῷ τε παιδὶ καὶ τῷ πατρὶ χαλεπόν· σφάλλονται ἐν ταῖς πράξεσι καὶ τὰ κτήματα τούτων διασκεδάννυνται. φρενοβλαβεῖς τε ποιεῖ καὶ μαινομένους, ἔστιν ὅτε καὶ τυφλούς· χεῖρον δὲ ἐπὶ ἡμερινῆς γενέσεως.

Ὁ Ἄρης Ἀφροδίτην τετραγωνίζων τοῦ Ἄρεως καθυπερτεροῦντος, πονηραὶ κρίσεις καὶ ζημίαι καὶ μάχαι καὶ βλάβαι διὰ γυναῖκας. εἰ δὲ καὶ ἐν τροπικῷ ζῳδίῳ, μαλακοὶ ἔσονται· εἰ δὲ καὶ ζῳτικοὺς χρόνους ἔχει ὁ τοιοῦτος, τὴν ἑαυτοῦ γυναῖκα παρακοιμήσει ἢ μοιχευομένην εἰδὼς ἀνέξεται· καὶ ἡ γυνὴ δὲ ἀσελγοῦντος τοῦ ἀνδρὸς ἀνέξεται. εἰ δὲ Ἀφροδίτη τὸν Ἄρην καθυπερτερεῖ, τὰ ἴσα μὲν ποιεῖ, ὅμως λαθραίως καὶ αἰδημόνως.

Ὁ Ἄρης Ἑρμῆν τετραγωνίζων τοῦ Ἄρεως καθυπερτεροῦντος πολλῶν δεινῶν αἴτιος, βλάβας ἐπάγων καὶ συνοχὰς καὶ τὰς πράξεις ἐμποδίζων ἢ διαβολὰς διὰ πράξεις ποιῶν, χεῖρον δὲ ἐπὶ ἡμερινῆς γενέσεως, εἰ μάλιστα ἢ ἀμφότεροί εἰσιν ὑπὲρ γῆν, ἢ ὅμως ὁ Ἄρης· ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἥττονα τὰ δεινά. εἰ δὲ τὸν Ἄρην ὁ Ἑρμῆς ἐπιδεκατεύει, δεινοὺς ἐξετέλεσε, πανούργους, ἀλλοτρίων ἁρπαγας· οἱ τοιοῦτοι γὰρ ἀπὸ ἄλλου εἰς ἄλλον μετέρχονται, ὅπως κακόν τι αὐτοῖς προστρεψάμενοι προδώσουσιν αὐτοὺς καὶ τῶν χρημάτων γυμνώσουσιν.

Ὁ Ἄρης Σελήνην τετραγωνίζων τοῦ Ἄρεως καθυπερτεροῦντος τὴν μητέρα χήραν ποιεῖ· καὶ τὸν πατρικὸν ἐλαττοῖ βίον καὶ αὐτὴν τὴν μητέρα ἀναιρεῖ δι' αἵματος ἢ βιαίου θανάτου· ὁ δὲ τεχθεὶς ἐπὶ ἱεροὺς καταφεύγει τόπους καὶ ὑπὸ φαντασμάτων καὶ εἰδώλων ἐνοχλεῖται· καὶ μᾶλλον τὸ κακὸν ἔσται ὅταν ὁ Ἄρης ἐν ὁρίοις ἐστὶ Κρόνου· εἰ δὲ <ἡ> Σελήνη τὸν Ἄρην ἐπιδεκατεύει ἄδοξον καὶ πενιχρὰν τὴν μητέρα, τῷ δὲ παιδὶ καθαίρεσιν τύχης καὶ πλάνας δηλοῖ.

Ὁ Ἥλιος Σελήνην τετραγωνίζων ἀλλήλους ἐπιδεκατεύοντες, ἐπὶ μὲν

6 γενέσεως ἡμέρας ἢ νυκτός A. καὶ νυκτερινῆς B. 15 διασκεδάννηνται A. 18 πινηρόν A. 19 ζωτικὸν χρόνον ut vid. B. 27 ἐπὶ γὰρ B. 31 προστραψάμενοι A : l. προστριψάμενοι (Bidez). 33 καὶ ante αὐτὴν omis. A. 34 μητέραν A. 36 ἡ inser.

Digitized by Google

τῶν κέντρων ἑστῶτες καὶ μαρτυρούμενοι ὑπὸ ἀγαθοποιῶν, ἐμπράκτους, ἐνδόξους ἐν συστάσεσι ποιοῦσιν· ὑπὸ δὲ κακοποιῶν ὁρώμενοι καὶ ζωῇ καὶ βίῳ λυπηροί· εἰ δὲ καὶ τοῦ Ἡλίου καὶ τῆς Σελήνης ὄντων ἀλλήλων ἐπὶ τῶν κέντρων καὶ ὑπὸ Κρόνου καὶ Ἄρεως ὁρωμένων ἡ Σελήνη τῷ Διὶ συνάπτει, λαμπροὶ μὲν ἔσονται, πλὴν βασκαινόμενοι ὑπὸ πολλῶν· ἀπόντος δὲ τοῦ Διός, πλείστην καὶ μεγάλην κάκωσιν ἕξει τὸ διάθεμα. ὁ Ἑρμῆς <καὶ ἡ> Ἀφροδίτη ἀλλήλους καθυπερτεροῦντες, ἀστείας τέχνας παρέχουσι ἢ ἐπεράστους ποιοῦσι ἢ διδασκάλους ἐπιφανεῖς· αἱ μέντοι λαλιαὶ τούτων ἐπίψογοι καὶ περὶ τὰ ἀφροδίσια οἱ τοιοῦτοι λάγνοι.

Ἡ Σελήνη Ἀφροδίτην τετραγωνίζουσα τῆς Σελήνης καθυπερτερούσης ἀσπόρους μέν, πολυψόγους δέ· οἳ καὶ διὰ θηλυκὰ ἢ καὶ ἀπὸ θηλυκῶν προσώπων βλάπτονται· εἰ δὲ ἡ Ἀφροδίτη καθυπερτερεῖ τὴν Σελήνην, ἐπάλληλα παρέχει τὰ ἀγαθά, ἐμπράκτους καὶ πολυβίους ποιοῦσα· οἷς καὶ γυναῖκας διδοῖ φιλοστόργους καὶ σώφρονας· αὐτόν τε εὔχαριν καὶ κόσμιον καὶ γλυκύλαλον ποιεῖ, πλὴν ἀστάτους ἐν τοῖς γάμοις ποιεῖ καὶ αὐτοὺς καὶ τὰς τούτων μητέρας· οὐκ ἔσονται γάρ, φησί, μονογαμοῦντες.

Ἡ Σελήνη Ἑρμῆν τετραγωνίζουσα τῆς Σελήνης καθυπερτερούσης κοῦφοι ἔσονται ἄστατοι εὐμετάβολοι, ἄπιστοι ὑπὸ μηδενὸς ἀκουόμενοι. τοῦ δὲ Ἑρμοῦ τὴν Σελήνην καθυπερτεροῦντος συνετοὶ μὲν καὶ λόγιοι πλὴν δι᾽ ὄχλον καὶ πλήθους λυποῦνται· εἰ δὲ ὁ Ἑρμῆς καθυπερτερῶν τὴν Σελήνην αὐτὸς ὑπὸ κακοποιῶν καθυπερτερεῖται, πλαστογράφοι ἔσονται· οἳ καὶ ληφθέντες ἐπί τισι γραπτοῖς ἐν φυλακαῖς εἴργνυνται καὶ δεσμοῖς.

Περὶ διαμέτρων.

Ὁ Κρόνος Δία διαμετρῶν λυπηρὸς εἰς πρᾶξίν τε καὶ τέκνα· εἰ δὲ ὁ μὲν Κρόνος ὡροσκοπεῖ, ὁ δὲ Ζεὺς δύνει, ὀψίτυχοι ἔσονται.

Ὁ Κρόνος Ἄρην διαμετρῶν, περιστάσεσι βιωτικαῖς περιπίπτουσι καὶ ἐναντιώμασι χαλεποῖς καὶ φθόνοις καὶ ἐνδείαις καὶ σωματικαῖς ὀχλήσεσι καὶ κινδύνοις ζωῆς τε καὶ τέκνων οἰκείων τε ἔχθρας καὶ στάσεις ποιεῖ καὶ πατέρας προαναιρεῖ τῆς μητρὸς καὶ ἀλλεπάλληλα παρέχει τὰ κακά· εἰ δὲ καὶ ἐπὶ ὑγρῶν εἰσι ζῳδίων, ἐξ ὑγρῶν τὰς ὀχλήσεις, ναυαγοῦντας ποιοῦσιν ἢ ἐκ ποταμῶν καὶ ῥευμάτων ἐπιφορὰς ἐπάγουσιν.

3 ἀλλήλων delendum. 4 καὶ ante Ἄρεως omis. A. 7 καὶ ἡ ante Ἀφροδ. addidi. 8 ποιοῦσι omis. A. 15 εὔχαρον B. 17 μητέρας τούτων A. μονόγαμοι B : μουνογαμοῦντες scripserat Anubion. 20 ἄστατοι omis. A. εὐμετάβλητοι A. 22 l. ὄχλου vel ὄχλων. 24 καὶ ληφθέντες A : ἢ λειφθέντες B. 26 Περὶ διαμέτρων omis. B. 27 τε omis. A. 28 ὡροσκοπῇ A. ... δυνῇ A. 29 ὁ ante Κρόνος omis. B. 33 ἐξ ὑγρῶν A : καὶ ὑγρῶν B. 34 ποιεῖ B.

Digitized by Google

πολλάκις δὲ καὶ ἀπὸ ἐνύδρων ἀδικοῦνται θηρίων ἢ φαρμάκοις τισὶ τελευτῶσιν. εἰ δὲ τὸ σχῆμα ἐν τοῖς τετράποσι ζῳδίοις ἐστίν, ἐκ συμπτώσεως θνήσκουσιν, ἢ ἐγγὺς τοῦ θανεῖν ἔρχονται, ὅταν ὁ Ζεὺς ἴδῃ· εἰ γὰρ μὴ ἴδῃ, ἄφυκτα τὰ κακά. ἀλλ' ἐπὶ μὲν τῶν κέντρων διαμετροῦντες θάνατον ἐπιφέρουσιν ἢ χωρισμοὺς οἰκείων καὶ τῆς πατρίδος· 5 τοὺς δὲ εἰς ὑποταγὴν ἄγουσι καὶ δουλείαν, κἂν ἐλεύθεροι ὦσιν· ἐπὶ δὲ τῶν ἐπαναφορῶν τὰς ἐλπίδας ἐκκόπτουσιν, ἔτι δὲ καθαιρέσεις ἐπάγουσιν ἐν μέσοις τοῖς χρόνοις. ἂν δ' ἐν τοῖς ἀποκλίμασιν ἥττον μὲν βλάπτουσιν, λύπας δὲ ὅμως καὶ μόχθους καὶ ἐκπτώσεις ἐπάγουσιν.

Ὁ Κρόνος Ἥλιον διαμετρῶν τοῦ Διὸς μὴ μαρτυροῦντος, καματηρὸς 10 ἔσται ὁ πατὴρ καὶ φειδωλὸς καὶ σεσινωμένος, τά τε κτήματα καὶ τὰ πατρικὰ φθείρεται, ὅσα τῷ παιδὶ καταλείπεται· ἀλλ' οὔτε εὐθάνατος ἔσται ὁ πατήρ, ὁ δὲ τεχθεὶς ἐν πολλοῖς ἔσται μόχθοις καὶ μᾶλλον ὅταν ἐπὶ θηλυκῶν ζῳδίων τὸ σχῆμα γένηται.

Ὁ Κρόνος Ἀφροδίτην διαμετρῶν πόρνους, ἀσχήμονας, ἀγάμους 15 ποιεῖ· εἰ δὲ καὶ γήμωσι, ἐφυβρίστους ἢ ξένας λήψονται ἢ δούλας ἢ σεσινωμένας, καὶ αὐτοὶ δὲ ἐκτὸς τῶν ἀφροδισιακῶν χαρίτων εἰσίν.

Ὁ Κρόνος τὸν Ἑρμῆν διαμετρῶν δυσγλώττους ἢ τραυλοὺς σημαίνει καὶ μάλιστα τοῦ Ἑρμοῦ ἐν ἀφώνῳ ζῳδίῳ ὄντος ἢ ὑπαύγῳ· εἰ δὲ σὺν τῷ Ἑρμῇ καὶ τὴν Σελήνην διαμετρεῖ ὁ Κρόνος, χεῖρον βλαβήσεται ἡ 20 λαλιά, εἰ μὴ ὁ Ἄρης ἰδών ποθεν λύσει τὴν κάκωσιν· πλὴν τῆς μὲν ἀφωνίας, ὁ Ἄρης ἀπαλλάττει, πολυμόχθους δὲ ποιεῖ, ὅμως συνετοὺς λίαν καὶ ἐμπείρους· ὄνησις δέ τις αὐτοῖς ἀπὸ τῆς συνέσεως καὶ ἐμπειρίας οὐκ ἔσται οὔτε κτῆσις οὔτ' ὠφέλεια· ἀεὶ δ' ἐμμέριμνοι καὶ κατάστυγνοι διάγουσι, τύφου γέμοντες καὶ τῶν προγενεστέρων ἀδελφῶν 25 ὄψονται θανάτους ἢ προγενέστερου τῶν ἄλλων ἔσονται· τούτων καὶ ὁ πατὴρ προτελευτᾷ τῆς τεκούσης.

Ὁ Κρόνος Σελήνην διαμετρῶν τὴν μητρικὴν κτῆσιν ἀπόλλυσιν καὶ αὐτῇ τῇ μητρὶ θλίψεις καὶ κρυπτῶν τόπων πόνους ἐπάγει ἢ λυπηρὰ σημαίνει· εἰ δὲ μὴ ὁ Ζεὺς ἢ Ἀφροδίτη ὁρᾷ, ἔσται χαλεπῶς ἔχουσα τῷ 30 σώματι καὶ ζημίας ὑπομένουσα· ἐν δὲ τοῖς τετράποσιν, ἀπὸ τῶν ὁμοίων ἡ βλάβη· εἰ δὲ ἐν θηριώδεσιν, ἐκ θηρίων· εἰ δὲ ἐν ἀνθρωποειδέσι, ἐξ ἀνθρώπων· εἰ δὲ ἐν καθύγρῳ, ἐξ ὑδάτων ἢ κακοχυμίας τοῦ σώματος· καὶ τῷ γεννηθέντι δὲ ὁμοίως, εἰ μὴ ἴδοι Ζεὺς Ἀφροδίτην, σῖνος ἔσται. τινῶν μὲν τὴν ὄψιν ἐτύφλωσεν, ἄλλους τῆς πατρίδος ἐξήλασεν, ἑτέρους 35 ἐν διαφόροις τόποις τοῦ σώματος ἔβλαψεν.

1 Post ἀπὸ legitur in B δ' cum lacuna. ἀδικούντων A. 3 ἔρχεται B. 7 ἔτι δὲ καθαιρέσεις A : καθαιρέσεις τε B. 10 καματρὸς B. 11 καὶ τὰ A : τά τε B. 12 ὅσω B. 14 θηλυκῷ ζωδίω A. 16 γημοῦσι A : γημῶσι B : corr. 19 ὑπαύγου A : in B obscurum. 22 ἀφώνου A. 23 αὐτῷ A. ἐμπορίας A. 24 ὠφελία codd. ἐμέριμνοι A. 25 τῶν omis. B. 26 θανάτον B. 27 προτελευτεῖ τὰς τεκούσας A. 29 τόπων omis. B. 30 σημεῖα A. δ' ὁ μὴ ὁ A. 31 τετραπόδοις B. 34 ἴδῃ B. 35 ἄλλοις A. 36 τόποις omis. A.

Digitized by Google

Ὁ Ζεὺς Ἄρην διαμετρῶν ἀνώμαλον ποιεῖ τὸν βίον πάνυ τοῖς τοιούτοις καὶ οἱ φίλοι ἐχθροὶ γίνονται, οἱ δὲ καὶ ἐκ προπετείας καὶ ταραχῆς λογισμῶν ζάλαις λυποῦνται.

Ὁ Ζεὺς Ἥλιον διαμετρῶν τῶν πατρικῶν ὁλετὴρ κτημάτων· ὁ δὲ γεννηθεὶς ἐν ὑποταγῇ ἔσται τῶν ἐπιτρόπων αὐτοῦ ἢ δούλων ἢ τοιούτων ὁμοίων.

Ὁ Ζεὺς Ἀφροδίτην διαμετρῶν ἀπροκόπους ποιεῖ, ἀληθὴς δὲ φίλος τούτοις οὐδείς, ἀλλ' ἕτερα μὲν νοῶν, ἕτερα δὲ λέγων, ἕξει δὲ καὶ φίλων ἐπαναστάσεις καὶ οἱ εὐεργετηθέντες ὑπ' αὐτοῦ ἐχθροὶ ἔσονται αὐτοῦ, καὶ οἷς δωρεὰς παρέξει, ἀμοιβὰς κακὰς παρ' αὐτῶν ἀντιδέξεται· ἐν ἄλλοις δέ τισιν εὐτυχήσει καὶ βίος ἄρκιος ἔσται αὐτῷ, καὶ πρὸς μὲν τὴν γνησίαν γαμετὴν ἀστατήσει, πρὸς δὲ τὰ μοιχικὰ ἐπιτευκτικὸς ἔσται.

Ὁ Ζεὺς Ἑρμῆν διαμετρῶν, φαῦλος καὶ μάλιστα τοῖς δικολόγοις καὶ ῥήτορσι· ποιεῖ γὰρ ὄχλων ἐπαναστάσεις καὶ ὀργὰς καὶ διαβολὰς πρὸς μείζονας ἔκ τινων βασκάνων· ὄψονται καὶ ἀδελφῶν θανάτους καὶ δίκας ἕξουσι πρὸς τοὺς ἀδελφοὺς καὶ τοὺς κατὰ γένος προσήκοντας. [Ἰστέον δὲ ὅτι οὐ μόνον κατὰ πῆξιν ταῦτα τὰ σχήματα ἀποτελεστικὰ γίνεται ἀλλὰ καὶ κατὰ τὰς ἐπεμβάσεις, οἷον κατὰ πῆξιν ἦν Ἥλιος Σκορπίῳ, Ἄρης Παρθένῳ, κατὰ δὲ ἐπέμβασιν γενόμενος Ἄρης Ταύρῳ διέτεμε τὸν κατὰ πῆξιν Ἥλιον, καὶ ἐδήλωσε κίνδυνον ἀφ' ὕψους ἢ πυρός].

Ὁ Ζεὺς Σελήνην διαμετρῶν εἰ μὲν αὐξιφωτοῦσα προεδρίαν καὶ βίον διδοῖ καὶ ἐπίσημον καὶ ἀρχικὸν σημαίνει,

Ἤθεσιν ὁρμητήν τε καὶ οὐκ εἴκοντά περ ἄλλῳ.

ταῦτα δὲ ποιεῖ κατ' ἐξοχὴν ἡνίκα ἡ Σελήνη ἐλαττόνων ἐστὶ μοιρῶν, ὁ δὲ Ζεὺς πλειόνων· εἰ δὲ λειψιφωτοῦσα, δεινόν, τὰ γὰρ εἰρημένα πάντα μειοῖ, καὶ ἄλλα δὲ ἐναντιώματα καὶ σφάλματα σημαίνει.

Ὁ Ἄρης Ἥλιον διαμετρῶν ἐν ἡμερινῇ γενέσει βιαιοθανάτους ποιεῖ ἢ καὶ τὰς τοῦ πατρὸς ὄψεις σινοῖ, τῇ δὲ γενέσει κινδύνους ἀφ' ὕψους καὶ ἐναντιώσεις ποιεῖ πολλάς· ἐν δὲ νυκτὶ ἀδρανεῖς ποιεῖ καὶ τῷ βίῳ ἐκπτώτους.

Ὁ Ἄρης διαμετρῶν Ἀφροδίτην, ῥέμβους καὶ ἀστάτους ποιεῖ· βάσκανον δὲ ἡ Ἀφροδίτη εἰς γάμον καὶ τέκνα· εἰ δὲ καὶ ἐν τροπικῷ, τοιαῦτα ποιεῖ ἃ καὶ τετράγωνοι ὄντες· *** γίνονται γὰρ πλαστογράφοι, καὶ τῶν φαρμακείων συνίστορες· ἀεί τε δανείοις καὶ ἐγγύαις ὑποπίπτουσιν καὶ πίστιν δικαίαν ἀποστέργουσιν, ὧν ἕνεκα καὶ παρ' ἡγεμόνων κρίνονται καὶ

3 ζάλης B. 7 ἀποκροπὰς A. 10 παρ' αὐτοῦ A. 12 ἄστατος ut vid. A. ἐπιτευτικὸς A. 14 ὄχλου A. ὀργὴν A. 17-20 Ἰστέον ... πυρός seclusi. 20 ἢ πυρὸς omis. B. 23 τοῖς ante ἤθεσιν add. A. 25 λειψόφωτος δεινός A. 27 ἡμέρα γενέσεως θανάτους A. 28 σῖνος B : σημαίνει A. 29 ποιεῖ omis. B. 33 Signum posui lacunae ante verba γίνονται γάρ, deest Ἄρης Ἑρμῆν διαμετρῶν etc., cf. p. 175, v. 20. 34 δανείας A. 35 ἀποστεροῦσιν codd. : corr. Kroll, cf. p. 175, v. 22.

Digitized by Google

φόβους ὑφίστανται· ἄλλοι τῆς πατρίδος ἐξελαύνονται, καὶ μᾶλλον ἡνίκα ὁ Ἑρμῆς ἐστι ἐν ὁρίοις Κρόνου ἢ Ζῳδίῳ ἢ ἐν ἰδίοις ὁρίοις ἢ Ζῳδίῳ.

Ὁ Ἄρης Σελήνην διαμετρῶν ὀλιγοχρονίους ποιεῖ ἢ κινδύνοις περιπίπτοντας, τινὲς μὲν ἄγαμοι, τινὲς δὲ τὰς γυναῖκας θάπτουσιν· τούτοις καὶ ἡ τελευτὴ δεινή, ἢ γὰρ μανίας ἢ τομὰς ὁ Ἄρης ποιεῖ. 5

Ἡ Ἀφροδίτη Σελήνην διαμετροῦσα τὰ πρὸς γάμον οὐκ ἀγαθά· ἢ γὰρ οὐ διδοῖ τέκνα ἢ παρέχουσα ταῦτα θανατοῖ ἢ ἄλλως πως ἀποστερεῖ· ἕνεκα δὲ τῶν γυναικῶν αὐτῶν ὕβρεις καὶ θλίψεις καὶ βλάβας πάσχουσι, καθόλου γὰρ Σελήνη καὶ Ἀφροδίτη τετράγωνοι ἢ διάμετροι ἐπὶ παντὸς πράγματος ζηλοτυπίαν παρέχουσιν. 10

Ὁ Ἑρμῆς Σελήνην διαμετρῶν ἀπὸ πλήθους καὶ δήμου στάσεις ἐγείρει καὶ κραυγάς, καὶ ἐν λόγοις ἀθαρσεῖς ποιεῖ. [ὅσα δὲ δηλοῦσι τρίγωνοι πρὸς ἀλλήλους οἱ ἀστέρες, τοσαῦτα καὶ ἑξάγωνοι ὄντες πλὴν ἀσθενέστερα καὶ ἥττονα ποιοῦσιν].

Ἡ Σελήνη Ἥλιον διαμετροῦσα ὄλβου καὶ δόξης παραίτιος γίνεται. 15 καθόλου δὲ πᾶς ἀστὴρ τὸν ἴδιον οἶκον διαμετρῶν ἃ παρέχει αὐτὸς πάντα ἀφ' ἑαυτοῦ μειοῖ. A. O.

F. 168. Περὶ μετοικισμῶν· Δευκαλλίωνος.

Ὅταν θέλῃ τις μετοικῆσαι ἐκ τόπου εἰς τόπον ἢ ἐξ οἰκίας εἰς οἰκίαν ἔστω ὁ τοῦ Ζῳδίου κύριος ἐν δυνάμει, ἤτοι φάσιν ἔχων ἐφ'αν ἢ χρηματιστικὴν θέσιν, ἐν ἰδίοις ὧν τόποις· ἔστω δὲ καὶ ἡ Σελήνη ἐν ἰδίῳ οἴκῳ καὶ ὑψώματι τοῖς ἀριθμοῖς προστιθεῖσα καὶ τῷ φωτὶ καὶ ὑπὸ ἀγαθοποιῶν μαρτυρουμένη, ἢ αὐτοῖς συνάπτουσα ἢ συνοῦσα· οὕτω γὰρ ἂν γένοιτο ἡ μετοίκησις ἀρίστη καὶ εὔσημος καὶ ὀνήσιμος. μὴ λανθανέτω δέ σε καὶ ὁ κλῆρος τῆς τύχης καὶ ὁ κύριος αὐτοῦ, τοῦ εἶναι αὐτοὺς ἐν καλῇ θέσει καὶ μαρτυρίᾳ. καὶ ὁ τοῦ β' τόπου καὶ ὁ τοῦ η' οἰκοδεσπότης ἐπίκεντροι ἔστωσαν καὶ ὑπὸ καλοποιῶν μαρτυρούμενοι. A. O.

F. 174. Ῥητορίου[1] πόθεν δεῖ ἐκβάλλειν τὰ ἔτη ἐπὶ τῆς <περὶ> γονέων σκέψεως.

Ὁ Ῥητόριός φησι· πάντοτε δεῖ ἐκβάλλειν τὰ ἔτη ἐπὶ τῆς περὶ γονέων σκέψεως ἀπὸ τῶν κλήρων αὐτῶν καὶ βλέπειν τὸ Ζῴδιον ἐν ᾧ καταλήγῃ

5 τελευτὴ A : τε B. 7 θανατεῖ A. 8 αὐτὸν B. 12 Quae uncis inclusimus aliunde irrepsisse videntur. 16 ἃ παρέχει αὐτὸς omis. A. 17 Sequuntur in B sine intervallo ea quae coniunctio duarum planetarum efficit. Incipit : Κρόνος σὺν Διὶ ἀγαθοὺς οἰκονόμους καὶ ἐπιτρόπους... desinit f. 176' ... ἀλλ' ὅταν ὁρᾶται ὑπὸ Διός. Quae omnia Anubionis quoque esse videntur. 18 Marcianum 335 (A) descripsit Olivieri, Parisinum 2506, f. 40 (B) contulit Cumont. 19 μετοικίσαι A. 23 ἑαυτοῖς codd. 24 μετοίκισις A. ἢ ὀνήσ. A. 26 μάρτυρες ut vid. B. 28 Marcianum 335 (A) descripsit Olivieri, Parisinum 2506, f. 77 (B) contulit Cumont. 29 περὶ suppl. 31 ἀπὸ τ. κλ. α. omis. B. βλέπει B : βλέπε A.

[1] De Rhetorio, cf. supra, p. 186, n. 1.

Digitized by Google

τὸ ἔτος καὶ τοὺς ἐφορῶντας κατὰ πῆξιν ἢ κατὰ πάροδον· καὶ πρὸς τὸ λαβεῖν τὸν ἐνιαυτὸν τῶν γονέων, ζήτει καὶ τοὺς περιπάτους Ἡλίου καὶ Σελήνης πρὸς τοὺς κακοποιοὺς ἢ ἀγαθοποιοὺς καὶ τοὐναντίον τοὺς περιπάτους τῶν κακοποιῶν καὶ ἀγαθοποιῶν πρὸς Ἥλιον καὶ Σελήνην κατὰ τὰς ἀναφορὰς καὶ τὰς περιόδους καὶ ἀποκαταστάσεις αὐτῶν, ἔτι δὲ καὶ τὰς περιόδους τῶν ἀστέρων. A. O.

F. 193v. Ἀπὸ τοῦ Θεοδοσίου[1] περὶ τοῦ γνῶναι τὴν ἡμέραν ἐν ᾗ τις τεθνήξεται.

Στερεοῦ μὲν ἢ δισώμου ὡροσκοποῦντος ζῳδίου κατὰ τὴν ἐαρινὴν τροπήν, βλέπομεν τὴν Σελήνην εἰς τὴν αὐτὴν τροπὴν ἐν ποίῳ ζῳδίῳ ἐστίν, εἰ μὲν ἐν τῷ πρώτῳ ἑξαμήνῳ τῷ ἀπὸ ἰσημερίας τὸ προσδοκώμενόν ἐστιν· εἰ δὲ ἐν τῷ δευτέρῳ ἑξαμήνῳ, βλέπομεν αὐτὴν κατὰ τὴν μετοπωρινὴν τροπὴν ὡσαύτως ἐν ποίῳ ζῳδίῳ ἐστί· καὶ κατ' ἐκείνην τοῦ ζῳδίου τὴν ἡμέραν λέγομεν γενέσθαι τὸ προσδοκώμενον· τροπικοῦ δὲ ὡροσκοποῦντος ζῳδίου, εἰ μὲν ἐν τῷ πρώτῳ τεταρτημορίῳ τοῦ χρόνου ἐστὶν ἡ ἐλπίς, βλέπομεν τὴν Σελήνην κατὰ τὴν ἐαρινὴν τροπήν· εἰ δὲ εἰς τὸ δεύτερον τεταρτημόριον, κατὰ τὴν θερινήν· εἰ δὲ εἰς τὸ γ', κατὰ τὴν μετοπωρινήν· εἰ δὲ εἰς τὸ δ', κατὰ τὴν χειμερινὴν τροπὴν ἐν ποίῳ ζῳδίῳ ἐστί· καὶ κατ' ἐκείνην τοῦ ζῳδίου τὴν ἡμέραν ἀποφαινόμεθα.

Ἄλλως: Καταδήλου γεγονότος τοῦ θανάτου ἀπὸ τῶν λοιπῶν μεθόδων σκόπει κατὰ τὴν ἐαρινὴν τροπὴν τὸ μεσουράνημα ποίου ἀστέρος ἐστὶν ἡμέρα, καὶ ἐπὰν τοῦτον τὸν ἀστέρα ἤγουν τὸν ὁριοκράτορα εὕρῃς μεσουρανήματος, ζήτει καὶ τὸν ὁριοκράτορα τοῦ ὑψώματος αὐτοῦ καὶ λέγε τούτου ὑψουμένου καὶ ἐν καλῷ τόπῳ ἑστῶτος καὶ ἐφορωμένου παρὰ τῶν ἀγαθοποιῶν δόξαν καὶ εὐρωστίαν, ταπεινουμένου δὲ ἢ ὑπὸ τὰς ἡλιώτιδας αὐγὰς ὄντος ἢ στηρίζοντος ἢ ὑποποδίζοντος ἢ τετραγωνιζομένου ἢ διαμετρουμένου παρὰ τῶν κακοποιῶν θάνατον. ὑποδείγματος χάριν ἔτους ,ϛφογ' κατὰ τὴν ἐαρινὴν τροπὴν Λέοντος μοῖρα ιη' δ'· μεσουράνημα Ταύρου θ' β', ὁ ὁριοκράτωρ τοῦ μεσουρανήματος Ἑρμῆς, τὸ ὕψωμα τούτου Παρθένου μοῖρα ιε'· ὁ κύριος τῶν ὁρίων Ἀφροδίτη. ἀνάγκη ταύτης κακουμένης τὸ ἀποτέλεσμα γίνεσθαι.

A. O.

1 κατὰ ante πάρ. omis. B. 7 Marcianum 335 (A) descripsit Olivieri. Parisinum 2506, f. 57 (B) contulit Cumont. 11 πρώτω B : α' A ἰσημερι', ν superscr., B. 12 δευτέρω A : β' B. 13 ἐκεινην A : ἐκείνου B. 14 ἡμέραν] 'ό B. 24 μεσουρανήματος] μρ codd. 25 ὑψωμένου A. 26 εὐρρωστίαν B. ταπεινωμένου B : ταπεινομένου A : corr. 29 Annus est 1065 p. C. n. Post numerum in B legitur λ τ' ωρ λέγω τόν ὡροσκόπον.

[1] Utrum Theodosius hic idem sit atque discipulus quem Stephanus philosophus affatur (p. 182, 4) an non, incertum est.

Digitized by Google

F. 420. Τοῦ πρωτοσπαθαρίου καὶ στρατηγοῦ τῶν Κιβυρραιωτῶν[1] περὶ τῶν παρατηρουμένων ἀστέρων παρὰ τοῖς πλευστικοῖς, τῶν ποιούντων ζάλας καὶ ταραχὰς ἐν τῇ θαλάσσῃ.

Τῇ ιδ' τοῦ Σεπτεμβρίου μηνὸς ἄστρον τῆς Ὑψώσεως τοῦ τιμίου σταυροῦ καὶ γίνεται ταραχὴ τῆς θαλάσσης ἐξ ἀνέμου βορρᾶ εἴτε λιβὸς ἐπικρατοῦσα μέχρι ὡρῶν δύο· τῇ κ' τοῦ αὐτοῦ μηνὸς ἄστρον τῆς ἁγίας Θέκλης καὶ γίνεται ταραχὴ τῆς θαλάσσης ἐν ὥρᾳ μιᾷ· τῇ ς' τοῦ Ὀκτωβρίου ἄστρον παρατηρούμενον τοῦ ἁγίου Θωμᾶ, κακοταρία γίνεται πολλὴ τῆς θαλάσσης καὶ οὐδέποτε ἄνευ τάλου (ζάλης?) διήλθε τὸ τοιοῦτον ἄστρον· τῇ ιβ' τοῦ αὐτοῦ μηνὸς ἄστρον τὸ καλούμενον Ταύρου οὐρὰ καὶ γίνεται κακοταρία πολλὴ καὶ ζάλη μεγάλη ἐν τῇ θαλάσσῃ· τῇ κς' τοῦ αὐτοῦ μηνὸς ἄστρον τοῦ ἁγίου Δημητρίου ποιοῦν ζάλην μεγάλην ἐν τῇ θαλάσσῃ. τῇ ια' τοῦ Νοεμβρίου μηνὸς ἄστρον τοῦ ἁγίου Μηνᾶ καὶ γίνονται κακοταρίαι καὶ ταραχὴ θαλάσσης πλέον τῶν λοιπῶν ἄστρων. τῇ ιδ' τοῦ αὐτοῦ μηνὸς ἄστρον τοῦ ἁγίου Φιλίππου καὶ αὐτὸ ποιοῦν θαλάσσης κακοταρίαν. ἀπὸ δὲ τῆς ιε' τοῦ αὐτοῦ μηνὸς ἄρχεται ἡ λεγομένη πλειοδυσία· καὶ κατὰ ἑβδόμην ἡμέραν ἤγουν ἀπὸ τῆς ιε' ἕως τῆς κβ' δύνει ἄστρον· ὁμοίως καὶ καθεξῆς καὶ ἐν ταῖς αὐταῖς ἡμέραις, ὅτε τὸ ἄστρον δύνει, γίνεται ἐν τῇ θαλάσσῃ κακοταρία· ἐπικρατεῖ δὲ ἡ τοιαύτη Πλειὰς ἡμέρας μθ', ἐν δὲ τῷ μέσῳ τούτων τῶν ἡμερῶν ἐστιν ἄστρον τοῦ ἁγίου Νικολάου ποιοῦν καὶ αὐτὸ κακοταρίαν. ἀπὸ δὲ τῆς αὐτῆς ς' τοῦ Δεκεβρίου μηνὸς μέχρι τῆς ς' τοῦ Ἰαννουαρίου γίνονται κακοταρίαι πολλαὶ καὶ ζάλαι ἐν τῇ θαλάσσῃ· ἀπὸ δὲ τῆς αὐτῆς ς' μέχρι εἰκάδος τοῦ Μαρτίου μηνὸς πλέουσιν οἱ πλευστικοὶ μήτε κακοταρίαν πολλὴν ἔχοντες μήτε μὴν γαλήνην τελείαν· ἐν τῷ μέσῳ δὲ τῶν ἡμερῶν τούτων ἀστέρων παρατήρησις οὐχ ὑπάρχει· ἀπὸ δὲ τῆς κε' τοῦ Μαρτίου μηνὸς ἡνίκα τὸ ἔαρ ἔρχεται, ἄρχονται οἱ παχνίται· καὶ ὁ πρῶτος παχνίτης ἐπικρατεῖ ἡμέρας ζ', ὁμοίως καὶ οἱ λοιποί· εἰσὶ δὲ παχνίται ζ' κατὰ τὴν ἀκολουθίαν τῆς πλειοδυσίας· καὶ εἰς τὴν πρώτην ἡμέραν τοῦ πρώτου παχνίτου γίνεται ἄνεμος σφοδρὸς ὁ λεγόμενος εὖρος καὶ ἀστραπαὶ καὶ βρονταί, ὥστε μὴ δύνασθαι πλέειν ἐν τῇ τοιαύτῃ ἡμέρᾳ τινὰ καὶ ἐπικρατεῖ ἡμερῶν δύο καὶ μετέπειτα πλατύνει καὶ δέχονται τὸν ἄνεμον ἐξ εὐωνύμων καὶ ἀρμενίζουσι δεξιᾷ. οἱ δὲ ἐμπειρότεροι τῆς θαλάσσης ἐκ τῶν κυμάτων καὶ τῶν ῥευμάτων διαγνώσονται, ποῦ πορεύονται, καὶ τῇ τοι(αύ)τῃ ἡμέρᾳ ἀπολιβάζει, καὶ ἐπὶ τὴν αὔριον γίνεται κακοταρία· καὶ ἐπικρατεῖ μέχρι τῆς α' τοῦ β' παχνίτου· ὁμοίως γίνεται καὶ αὐτὸ εἰς τὸν δεύτερον παχνίτην· εἰς δὲ τὸν γ' παχνίτην γίνε-

28 παχνίται : cf. Lyd. de Ost., ed. Wachsm.[2], p. 130 sq. (F. B.) 36 διαγνώσκονται cod.

[1] De Cibyraiotis sive Cilicibus qui milites classiarios imperatoribus byzantinis suppeditabant non est hic locus disserendi. — Cf. excerptum de Mardaïtis supra, p. 70.

Digitized by Google

ται πλέον κακοταρία παρὰ τοὺς λοιποὺς παχνίτας· εἰς δὲ τὸν τέταρτον παχνίτην, γίνεται κακοταρία ἐλαφροτέρα, ὡσαύτως καὶ εἰς τὸν πέμπτον καὶ εἰς τὸν ἕκτον καὶ εἰς τὸν ἕβδομον. τῇ ια' τοῦ Μαίου μηνός ἐστι ἀστὴρ ὁ Σωρευτὴς καὶ γίνεται ἄνεμος σφοδρός· ἀπὸ δὲ τῆς ιβ' ἡμέρας
5 τοῦ Μαίου μέχρι τῆς κδ' τοῦ Ἰουνίου μηνός, ὅτε καὶ ἡ τροπὴ τοῦ Ἡλίου γίνεται, πλέεται ἡ θάλασσα ἀπαρατηρήτως· ἀστέρα γὰρ ἢ ταραχὴν θαλάσσης οὐ περιβλέπονται οἱ ναυτικοί· ἀπὸ δὲ τῆς κδ' τοῦ Ἰουνίου μηνὸς μέχρι τῆς ιε' τοῦ Αὐγούστου φυσῶσιν οἱ ἄνεμοι οἱ καλούμενοι ῥήκται· ἐν δὲ τῇ Συρίᾳ φυσῶσι νότοι· δι' αὐτοῦ γὰρ τοῦ ἀνέμου ἐξέρ-
10 χονται ἀπὸ Συρίας εἰς Ῥωμανίαν. ἐπικρατοῦσι δὲ οἱ τοιοῦτοι ἄνεμοι ἡμέρας μθ' καθὼς καὶ ἡ πλειοδυσία, καὶ κατὰ ἑβδόμην ἡμέραν γίνεται ταραχὴ τῆς θαλάσσης· τοὺς δὲ λοιποὺς ἀστέρας οἱ πλευστικοὶ οὐ παρατηροῦνται· καὶ αὐτοὺς γὰρ τοὺς εἰρημένους ἀστέρας οἱ πεῖραν πολλὴν ἔχοντες, εἰ καὶ τάχα ταραχὴ καὶ κακοταρία γίνεται ἐν τῇ
15 θαλάσσῃ, οὐ παρατηροῦνται· ἀλλὰ καὶ ἐν ταῖς ἡμέραις τῶν τοιούτων ἀστέρων πλέουσι.

Χρὴ εἰδέναι ὅτι ἡνίκα γένηται κακοταρία ὑπὸ νότου ὅτε ἀπὸ Συρίας ἐξερχόμενοι ἀρμενίζουσι καὶ συναντήσει βορρᾶς καὶ χαλάσουσι, τοῦτο μόνον σκοπεῖν δεῖ τὴν τῶν κυμάτων φοράν, ὅπως ἔχωσι ταῦτα πρυμνά·
20 ἐξ αὐτῶν γὰρ ἐπιγινώσκουσι τὴν ὁδὸν αὐτῶν· εἰ γὰρ ταῦτα μετ' ἐπιμελείας οὐ βλέπουσι καὶ στοχάζονται, ἀπόλλυσι τὴν ὁδὸν αὐτῶν. χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ὅτε φυσᾷ ἄνεμος ῥήκτης, ἀρμενίζουσιν ἐξ Αἰγύπτου μέχρι τοῦ κάστρου Ἀντιοχείας, ὅπερ οἱ Σαρακηνοὶ ἐντάχειον καλοῦσι τοῦ νότου· ἀπὸ δὲ τοῦ κάστρου Ἀντιοχείας ἤτοι τῆς ταχείας
25 μέχρι τῆς Ταρσοῦ ἀρμενίζουσι τοῦ κόλπου καὶ τοῦ βορρᾶ· ἀπὸ δὲ αὐγῆς τῆς ἡμέρας μέχρις ὥρας τρίτης ἐστὶν ἐν τοῖς μέρεσιν ἐκείνοις ἄνεμος ὁ λεγόμενος κίρρος· ἀπὸ δὲ τῆς ὥρας τρίτης μέχρις ὥρας πρώτης τῆς νυκτὸς γίνεται βορρᾶς.

Ἰστέον ὅτι οἱ πλευστικοὶ μεγάλως παρατηροῦνται τοῦ ἀποκινῆσαι καὶ
30 πλεῦσαι εἰς ὁδὸν ταξειδίου εἴτε ἐν ἡμέρᾳ τρίτῃ εἴτε ἐν πέμπτῃ, ταύτας γὰρ τὰς β' ἡμέρας ὑπὲρ τὰς λοιπὰς παρατηροῦνται· τινὲς δὲ σπανίως καὶ τὸ σάββατον, διὰ τὸ μνείαν νεκρῶν γίνεσθαι καὶ νεκρώσιμον εἶναι τὴν ἡμέραν· ὁμοίως μεγάλως παρατηροῦνται καὶ τὴν ἡμέραν τῆς ἁγίας καὶ μεγάλης πέμπτης, διὰ τὸ ἐν ταύτῃ παραδοῦναι τὸν Ἰούδαν τὸν
35 Κύριον· ὁμοίως καὶ τὴν ἡμέραν τῆς ἁγίας καὶ μεγάλης παρασκευῆς, διὰ τὴν τοῦ Κυρίου σταύρωσιν. ἡ δὲ δ' τῶν ἡμερῶν, καθὼς λέγουσιν οἱ πλευστικοί, ἢ ἀνεμοφόρος ἢ ἀνεμοφθόρος τυγχάνουσα, τουτέστιν εἴτε γεννητικὴ ζάλης καὶ τρικυμίας καὶ τοῦ ἀέρος σύγχυσιν καὶ ἀκαταστασίαν ποιοῦσα εἴτε τὸν πρὶν ταύτης φυσῶντα βίαιον ἄνεμον καὶ τὴν
40 θάλασσαν διεγείροντα πρὸς ζάλην καὶ τρικυμίαν καταπαύουσα καὶ

11 εὐδόμην cod. 18 συναντήσῃ cod. 19 πρύμ· α cod. 39 πρὶν coni. Bidez : ποὶν cod.

Digitized by Google

ἠρεμοῦσα καὶ τὸν ἀέρα εὐδιεινότερον καθιστῶσα. ἡ δὲ παρασκευὴ τῶν ἡμερῶν, καθὼς λέγουσιν οἱ πλευστικοί, πολλάκις ὁρᾶται εἴτε εὐδίαν τοῦ ἀέρος καὶ τῆς θαλάσσης ποιοῦσα, εἴτε τοῦ ἀέρος σύγχυσιν καὶ ἀκατασταστίαν καὶ ζάλην καὶ τρικυμίαν τῆς θαλάσσης παρέχουσα.

Ἰστέον ὅτι εἰ καὶ ὅλη ἑβδομὰς σύγχυσιν καὶ ἀκαταστασίαν τοῦ ἀέρος ἔχει καὶ τῆς θαλάσσης ζάλην καὶ τρικυμίαν, ἀλλ' οὖν τῇ κυρίᾳ τῶν ἡμερῶν ἤγουν τῇ πρώτῃ ἡμέρᾳ, ἀδύνατον μὴ καὶ τὸν ἀέρα ὀλίγον εἰς εὐδιεινότερον μετελθεῖν καὶ τὴν θάλασσαν εἰς τὸ γαληνότερον, ἢ παντελῶς καὶ τὸν ἀέρα εὐδιεινὸν γενέσθαι καὶ τὴν θάλασσαν εἰς τελείαν γαλήνην μετενεχθῆναι. ἔστι δ' ὅτε πολλάκις καὶ τὸν ἀέρα ἐν τῇ αὐτῇ συγχύσει καὶ ἀκαταστασίαν διαμεῖναι, καὶ τὴν θάλασσαν εἰς τὴν αὐτὴν ζάλην καὶ τρικυμίαν, μάλιστα ἐὰν εἴη σύνοδος τῆς Σελήνης· εἴτε γέννα εἴτε ἀπόχυσις ἢ ἐκ τῶν παρατηρουμένων ἄστρων παρὰ τοῖς πλευστικοῖς ἢ ἔκλειψις ἡλιακὴ ἢ σεληνιακὴ ὅτι καὶ αὗται παρὰ τῶν ἐμπείρων πλευστικῶν παρατηροῦνται μεγάλως.

Ἰστέον ὅτι εἴ ἐστιν ὁ ἀὴρ συνεφὴς καὶ ἐζοφωμένος ὥστε πολλάκις καὶ ψεκασμὸν ἢ καὶ ὑετὸν ἐκ τοῦ οὐρανοῦ διὰ τὴν τοιαύτην σύγχυσιν καταφέρεσθαι, εἰ μὲν αὔξεται ἡ τοιαύτη τοῦ ἀέρος συνοχὴ ἀφ' ἑσπέρας εἴτε ἀπὸ τῆς δείλης, δεῖ σκοπεῖν διὰ τῆς νυκτὸς τὸ πρῶτον πετεινόν· εἰ δὲ οὐκ ἀναστείλοι, χρὴ σκοπεῖν τὸ δεύτερον· εἰ δὲ ἔτι ἐπιμένοι, τὸ τρίτον· εἰ δὲ καὶ πάλιν ἐπιμένει ἐν τοῖς αὐτοῖς, σκοπεῖν τὸ αὖγος· εἰ δὲ καὶ τότε εἰς εὐδίαν μὴ ἔλθῃ, σκοπεῖν τὴν ἡμέραν εἶθ' οὕτω τὴν ἀνατολὴν τοῦ Ἡλίου καὶ εἰ μὲν ἔχουσι τὰ νέφη περικοπάς τινας ὥστε τὸν αἰθέρα ὁρᾶσθαι, ἐλπὶς τοῖς ταῦτα παρατηροῦσι τυγχάνει τῇ ἡμέρᾳ ἐκείνῃ εὐδιάσαι· εἰ δὲ τούναντίον γένηται καὶ τὰ νέφη τὴν αὐτὴν συνέχειαν καὶ πυκνότητα ἔχουσι καὶ διακοπὴ ἐν αὐτοῖς μὴ γένηται, καθὼς εἴρηται, δι' ὅλης τῆς ἡμέρας ἡ τοιαύτη ταραχὴ διαμένει· πολλάκις δὲ καὶ πρὸς ὥραν ἐννάτην εἴτε δεκάτην ἢ καὶ μέχρι τῆς ἑσπέρας εὐδία γίνεται. Α. Ο.

19 τὸ] τὸν cod. 20 prius τὸ] τὸν cod. 25 ἐκείνῃ] μείνῃ ut vid. cod. 27 διαμείνει cod.

Digitized by Google

ADDENDA ET CORRIGENDA

P. 3, f. 9. Nicolai Rhabdae Psephophoria edidit Tannery, *Notices et extraits des manuscrits*, 1886, t. XXXII, p. 26 ss.

P. 6, f. 202. Cf. cod. Angelic. 29, f. 181ᵛ.

P. 24. Signa cryptographica in Marciano 334, fol. 67-69 hunc in modum interpretanda sunt :

F. 67. λε'. Περὶ τοῦ εἰ μέλλει τι(ς) συνελθεῖν γυναικί.
λς'. Περὶ πορνείας (cryptographice scriptum ὑετε'). — Des. ἔννομος ὁ γάμος.
F. 67ᵛ. λζ'. Ἄλλως. — Des. ὅτι γίνεται πορνεία.
λη'. Περὶ ὑπολήψεὶς τινων εἰ ἥμαρτον. — Des. εἶναι λέγε τὴν συνάφειαν.
F. 68ᵛ. μδ'. Περὶ τοῦ εἰ ὠφεληθήσεταί τις κτλ. — Des. γυναικός.
F. 69. ν'. Περὶ τοῦ γνῶναι τὰ ἔτη τῶν κατὰ τὴν ἡμέραν βασιλέων ἀπὸ ἐρωτήματος. [F. B.]

P. 57, not. 1, lege " et 175 „.

P. 80, l. 21, pro " magistratibus „ lege " tabulariis „. De variis significationibus verbi δημόσιον apud Syros, cf. R. Duval, *Littérature syriaque*, p. 407, n. 1.

[M. A. K.]

P. 85, l. 9. 25, 98, transpone 98, 25.

P. 122, l. 15, lege ὅτι.

P. 123, l. 3, lege ἄνωθεν et ἂν.

P. 125, l. 36, lege καί, εἰ ἔστιν ὥρα.

Ibid., in apparat. crit., dele " 10 εἰ δὲ cod. „

P. 126, l. 1, lege ψύξεις ... ψυχρὰς κράσεις.

Ibid., l. 17, lege [ὅτι].

P. 139, l. 1, lege " (Marc. CCCXXXIV) „.

P. 180, l. 11, lege " p. 106 ss. „

Digitized by Google

INDICES NOMINUM

Numeri priores paginam et versum designant, posteriores uncis inclusi codicem et folium.

I. NOMINA SCRIPTORUM

Achmet 2 (3, f. 201ᵛ); 74 (11, f. 3) = filius Ioseph, grammaticus praefecti Aegypti Ταουλούντ.
Achmet Persa 6 (5, f. 202); **122-123**; **152-157**.
Aegyptii 15 (5, f. 289); 39 (7, f. 52ᵛ); 49 (7, f. 170); 182, 28.
Agareni 182, 30.
Ali filius Ichie 131, 5.
Alim filius Isaac 12 (5, f. 266ᵛ); **131-132**.
Ammonius 1 (1); 81; 182, 12, 18.
Antigonus 44 (7, f. 111); 188, 23.
Antiochus 5 (5, f. 127ᵛ); 58 (7, f. 249ᵛ).
Anubio 35 (6, f. 173ᵛ); 47 (7, f. 140ᵛ); 190, 15, 32; **202-212**.
Apomasar 10 (5, f. 231ᵛ); 18 (6, f. 38ᵛ); 46 (7, f. 125ᵛ); 56 (7, f. 208); 131, 4, 12, 14, 15; 132, 5; 137, 5.
Arabes 9 (5, f. 225).
Astrampsychus Aegyptius 72 (8, f. 259ᵛ).
Astrampsychus sacerdos 6 (5, f. 148).
Autolycus 73 (8, f. 317ᵛ).
Babylonii 48 (7, f. 162ᵛ).
Cebes 73 (10, f. 245).
Chaldaei 182, 27.
Charanitae 57 (7, f. 211ᵛ).
Christiani 182, 33; 183, 18.
Cibyraeotarum (= Cilicum) protospatharius et dux 70 (7, f. 420); **214-216**.
Critodemus 6 (5, f. 204ᵛ); 43 (7, f. 103); 73 (8, f. 318ᵛ).
Demetrius Chlorus 71 (8, f. 31).
Demophilus 14 (5, f. 282ᵛ); 69 (7, in indice οη').
Deucalio 49 (7, f. 168); **212**.
Diophantus 1 (1); 2 (3, f. 235).
Dorotheus Sidonius 1 (2, f. 30); 32 (6, f. 142ᵛ, f. 143ᵛ, f. 144, f. 144ᵛ); 33 (6, f. 146, f. 147); 34 (6, f. 150, f. 150ᵛ, f. 152ᵛ); 35 (6, f. 168); 40 (7, f. 71ᵛ, f. 72); 44 (7, f. 111); 47 (7, f. 137); **157**; 192, 21; **195-198**.
Eleutherius Zebelenus 13 (5, f. 267); 14 (5, f. 380ᵛ); **132-136**.
Embrenius **136**, 30-36.
Euclides 1 (1).
Figulus 14 (5, f. 284ᵛ).
Galenus 72 (8, f. 251ᵛ).
Gechias sive Iohannes, filius Apiscun 8 (5, f. 212ᵛ).
Geminus 4 (4, f. 479).
Graeci 38 (7, f. 15); 182, 28; 183, 8.
Gregoras 71 (8, f. 32).
Harranitae, cf. Charanitae.
Heliodorus 1 (2, f. 29ᵛ); 4 (5, f. 1); 5 (5, f. 40ᵛ); 58 (7, f. 244); 66 (7, f. 356); 72 (8, f. 278ᵛ); 81.
Hephaestio Thebanus 5 (5, f. 41, f. 97, f. 99, f. 104ᵛ); 35 (6, f. 160ᵛ); 38 (7, f. 17); 39 (7, f. 40, f. 67ᵛ); 40 (7, f. 69, f. 69ᵛ, f. 70, f. 80, f. 90); 50 (7, f. 180); 72 (8, f. 165, f. 203, f. 205ᵛ, f. 209, f. 299).
Heraclius imperator (?) 4 (4, f. 222).
Heraclius 182, 18.
Hermes Trismegistus 6 (5, l. 4); **14** (5, f. 289); 18 (6, f. 39); 21 (6, f. 49); 38 (7, f. 28); 65 (7, f. 324, f. 324ᵛ, f. 326); 72 (8, f. 248ᵛ).

Digitized by Google

Hero 3 (4, f. 60ᵛ, f. 63); 71 (8, f. 154).
Hipparchus 1 (1, f. 221ᵛ).
Indi 1 (1); 3 (4, f. 14); 19 (6, f. 39).
Iohannes Camaterus 28 (6, f. 93); 32 (6, f. 127); 59 (7, f. 268).
Ioannes Damascenus 38 (7, f. 15).
Ioannes sive Gechias filius Apiscun 8 (5, f. 212ᵛ).
Ioannes Pediasimus chartophylax Bulgariae 3 (4, f. 41).
Ioannes Philoponus sive Grammaticus 1 (1); 4 (4, f. 384); 16 (5, f. 323); 71 (8, f. 132ᵛ).
Isaac Argyrus 3 (4, f. 71, f. 211); 4 (4, f. 287ᵛ, f. 384); 16 (5, f. 317); 71 (8, f. 11ᵛ, f. 143, f. 153).
Ises filius Pharuchani 131, 6.
Iulianus 5 (5, f. 96); 21 (6, f. 52ᵛ); 66 (7, f. 341ᵛ); 72 (8, f. 195ᵛ).
Leo philosophus 22 (6, f. 64ᵛ); 52 (7, f. 189ᵛ). Hic dicitur " imperator ".
Leonardus Aretinus 73 (10, f. 245 ss.).
Lydus (Ioannes Laurentius Lydus Philadelphinus) 14 (5, f. 282); 50 (7, f. 178); 71 (8, f. 132ᵛ).
Manetho 37 (6, f. 205ᵛ); 39 (7, f. 40); 79.
Manuel Comnenus 16 (5, f. 312).
Mardaïtae 70 (7, f. 420).
Masala 33 (6, f. 148ᵛ); 63 (7, f. 310ᵛ); 69 (7, f. 394 et in indice ρζ').
Maseres Persa 9 (5, f. 226); **123-130**.
Maximus 20 (6, f. 42ᵛ); 21 (6, f. 53); 44 (7, f. 112ᵛ); 70 (8, f. 4).
Maximus Margunius episcopus Cytherorum 74 (11, f. 1).
Maximus monachus Planudes 1 (1); 3 (4, f. 14).
Muchamates Palchiotes 9 (5, f. 226); **123-130**.
Muchume filius Mosis 131, 4.
Mugnes **136**, 24-29.
Nechepso 5 (5, f. 83); 66 (7, f. 340ᵛ); 70 (7, in indice ριδ'); 72 (8, f. 278).
Nicaeus Protogaras 31 (6, f. 123).
Nicolaus Rhabdas 3 (4, f. 9).
Orpheus 35 (6, f. 168, f. 169); **198**, 24-**202**.
Ostanes 79.
Panaretus 33 (6, f. 146).
Pancharius 72 (8, f. 256).
Paulus Alexandrinus 1 (1, f. 212ᵛ); 4 (5, f. 1); 5 (5, f. 40ᵛ); 33 (6, f. 146); 52 (7, f. 191); 57 (7, f. 221ᵛ); 58 (7, f. 244); 61 (7, f. 298ᵛ); 66 (7, f. 356); 72 (8, f. 278ᵛ).
Persae 3 (4, f. 71); 6 (5, f. 206ᵛ, f. 207); 8 (5, f. 220); 9 (5, f. 225); 11 (5, f. 257); 13 (5, f. 272ᵛ); 14 (5, f. 277); 71 (8, f. 11ᵛ); 73 (8, f. 316ᵛ, f. 318); 122, 5, 14; 182, 27.
Petosiris 70 (7, in indice ριδ'); 72 (8, f. 259); 118, 22.
Porphyrius 2 (3, f. 182-195); 42 (7, f. 97ᵛ); 69 (7, f. 394ᵛ).
Proclus 1 (1); 1 (1, f. 187ᵛ); 3 (4, f. 171); 81.
Ptolemaeus 1 (1); 1 (1, f. 187ᵛ, 210ᵛ); 1 (2); 2 (3, f. 1-76ᵛ, f. 78, f. 197, f. 201ᵛ, f. 209, f. 224, f. 229ᵛ, f. 235); 4 (4, f. 258, f. 403, f. 467, f. 471); 6 (5, f. 156, f. 190, f. 192); 33 (6, f. 147); 34 (6, f. 154ᵛ); 35 (6, f. 165); 36 (6, f. 194ᵛ, f. 199ᵛ); 39 (7, f. 40, f. 60ᵛ); 55 (7, f. 204ᵛ); 60 (7, f. 281); 73 (8, f. 329, 10, f. 1, f. 108ᵛ, 115ᵛ, 126ᵛ); 74 (11, f. 3); 123, 6; 132, 21, 25; 161, 16; 162, 25; 169, 25; 173, 25; 182, 11, 12, 16; 191, 14; 198, 16, 22.
Rhetorius 5 (5, f. 127ᵛ); 44 (7, f. 112ᵛ); 49 (7, f. 174); 58 (7, f. 249ᵛ); 68 (7, f. 391ᵛ); **186**; **212-213**.
Romani 182, 29, 33.
Saraceni 8 (5, f. 221).
Sechl **137**, 8 ss.
Seth 182, 26.
Stephanus Alexandrinus 6 (5, f. 6); 10 (5, f. 231); 72 (8, f. 266ᵛ).
Stephanus philosophus 38 (7, f. 25); **181-186**.
Syrus 4 (4, f. 403); 5 (5, f. 89ᵛ); 21 (6, f. 51ᵛ); 66 (7, f. 343); 72 (8, f. 196, f. 305ᵛ); 73 (10, f. 1).
Tages 14 (5, f. 284ᵛ).
Theodosius 22 (6, f. 64ᵛ); **213**.
Theodosius 182, 4.
Theon Alexandrinus 1 (1); 1 (2); 2 (3, f. 235); 3 (4, f. 218ᵛ); 4 (4, f. 266ᵛ); 182, 17.
Theophilus 5 (5, f. 77, f. 83); 26 (6, f. 75ᵛ, f. 76, f. 77, f. 77ᵛ, f. 78, f. 78ᵛ); 40 (7, f. 68ᵛ); 47 (7, f. 127ᵛ); 55 (7, f. 203, 203ᵛ, 204, 204ᵛ); 66 (7, f. 336); **195**.
Vettius Valens 2 (3, f. 256); 5 (5, f. 126ᵛ); 33 (6, f. 146, f. 147, f. 162); 43 (7,

Digitized by Google

f. 110ᵛ); 44 (7, f. 110ᵛ, f. 111); 45 (7, f. 119); 47 (7, f. 131ᵛ, 132ᵛ); 49 (7, f. 173); 73 (8, f. 318ᵛ); **83-121**; 161, 18, 36; 162, 15, 33; 163, 11, 20, 32; 169, 26; 173, 26; 174, 12; 176, 11, 22; 177, 18; 179, 1; 179, 30; 180, 9, 10; 187, 14, 15; 188, 4, 8.
Zacharias scholasticus **79-80**.
Zoroastres 46 (7, f. 121); 79; **192-195**.

II. NOMINA CETERA

Acarnania 95, 27.
Adam 122, 6.
Adrianum mare 96, 24.
Adrianus 101, 27; 102, 26; 105, 7, 18; 117, 13.
Aegaeum mare 98, 4.
Aegyptii 38 (7, f. 15); 99, 2.
Aegyptus 93, 16; 95, 10; 98, 7; 99, 2; 215, 23.
Aethiopia 94, 15; 95, 27.
Alexander 102, 32.
Alexandrini 3 (4, f. 218ᵛ).
Ammon Aegyptius 65 (7, f. 326); 72 (8, f. 248ᵛ).
Ammoniaca regio 98, 27.
Antiochia 215, 23, 24.
Antoninus 102, 27, 29, 31, 32.
Aphelioticus oceanus 99, 22.
Arabia 94, 13; 95, 10.
Arabicum mare 100, 7.
Armenia 93, 14; 94, 16; 95, 30.
Asia 100, 10.
Augustus 102, 13; 103, 12, 23; 104, 26; 105, 7.
Babylon 59 (7, f. 268).
Babylonia 9 (5, f. 225ᵛ); 93, 11, 13; 94, 12.
Bactriana (regio) 95, 26.
Bithynia 96, 22.
Boeotia 95, 10.
Borysthenes 100, 8, 10.
Britannia 95, 30.
Bulgaria 3 (4, f. 41).
Byzantium 189, 30.
Caesar 103, 18; 104, 3, 34.
Calpe 99, 3.
Cappadocia 93, 14; 95, 30.
Caria 98, 8.
Carthaginiensis (regio) 94, 16.
Caucasii montes 94, 14.
Christus 184, 1.
Celtica (regio) 96, 21; 96, 24.
Cilicia 95, 9.
Claudius 102, 16.
Cochstan (locus Turcorum) 129, 27.
Commodus 102, 29.
Constantinopolis 14 (5, f. 380ᵛ).
Corinthus 98, 5.
Cos 95, 31.
Cyprus 94, 13.
Demetrius (sanctus) 214, 13.
Diocletiani aera 81.
Dodecaschoenus 98, 26.
Dometianus 102, 21.
Elymais 93, 12; 94, 16.
Eridanus 98, 31.
Euphrates 99, 1; 100, 6.
Florentini 73 (10, f. 245 ss.).
Gaius imperator 102, 15.
Galatia 95, 9; 96, 23.
Germania 94, 17.
Gordianus 102, 35.
Hecuba 189, 29.
Hellespontus 95, 29, 32.
Hyrcanium mare 95, 29.
Iacobus Contarenus 74 (11, f. 1).
Iberia 98, 6.
Ichie pater Ali 131, 5.
India 94, 16; 95, 8; 99, 20; 100, 7.
Indicus oceanus 99, 21.
Indorum terra 99, 22.
Indus 99, 3.
Ionia 95, 32.
Ioseph pater Achmetis 74 (11, f. 3).
Isaac pater Alim 12 (5, f. 266ᵛ); 131, 1.
Iudas 215, 34.
Libya 95, 10; 99, 2.
Libycum mare 95, 29.
Lucius Commodus, cf. Commodus.
Macedonia 96, 22.
Maeotis lacus 95, 28.
Magnum mare 98, 6.
Manuel Porphyrogennetus 32 (6, f. 127).
Maximianus 102, 34.
Media 94, 11.
Menas (sanctus) 214, 14.

Digitized by Google

Moses 183, 21.
Moses, pater Muchume, 131, 4.
Myoshormos 99, 24.
Nabuchodonosor 182, 16.
Nero 102, 17; 117, 5.
Nerva 102, 23.
Nicolaus (sanctus) 214, 22.
Ὀρθός vel Ὀρθοῦ δρμος 99, 24.
Parthia 99, 21.
Persae 70 (8, f. 1); 123, 10.
Persia 93, 12; 94, 14; 100, 7; 182, 2.
Persicus oceanus 93, 16.
Pessinus 96, 25.
Philippus 182, 18.
Philippus (sanctus) 214, 16.
Phoenice 96, 24.
Phrygia 96, 25.
Propontis 96, 23.
Pselcis 98, 26.
Ptolemaeus rex 72 (8, f. 259ᵛ).
Rhodus 95, 31.
Romani 22 (6, f. 63); 71 (8, f. 132ᵛ); 95, 10; 128, 21.
Romania 215, 10.
Ῥουμέλι 128, 22.
Rubrum mare 93, 15; 95, 28; 98, 28; 99, 19; 100, 6, 8.
ἡ Ῥυπαρά (θάλασσα ?) 93, 15.
Saraceni 215, 23.
Sardinia 100, 10.
Scytharum regio 99, 23.
Scythia 94, 13.
Sebennytos 98, 29.
Severus imperator 102, 30.
Sicyon 98, 5.
Susia 93, 15.
Sycaminus 98, 26.
Syria 93, 12; 95, 10; 96, 25; 98, 7; 99, 1; 100, 6; 215, 9, 10, 17.
Σχίνη 95, 27.
Tanaïs 99, 3.
Τσουλούντ praefectus Aegypti 74 (11, f. 3).
Tarsus 215, 25.
Thecla (sancta) 214, 8.
Thomas (sanctus) 214, 9.
Thracia 93, 14; 95, 9; 96, 24; 100, 10.
Thule 95, 30.
Tiberius 102, 14.
Tigris 99, 2; 100, 6.
Timotheus 72 (8, f. 266ᵛ).
Titus 102, 21.
Traianus 102, 24; 104, 25; 117, 15.
Troglodytica 95, 32.
Turci 129, 28.
Tusci 2 (3, f. 286ᵛ); 70 (8, f. 7ᵛ).
Tyrrhenum mare 98, 6.
Vespasianus 102, 19.
Zacynthus, 95, 27.

Digitized by Google

TABULA ARGUMENTI

CATALOGUS CODICUM

Codices astrologici Veneti 1
Index codicum 75

APPENDIX

De astrologis graecis testimonium novum

[Ex Zachariae scholastici vita Severi Antiocheni] 79

Excerpta ex codice 2 (Marc. cccxiii)

Observationes Heliodori. 81
Δωροθέου Σιδωνίου τῶν ἑπτὰ ἀστέρων ὀνόματα ἐπίθετα . . 81

Excerpta ex codice 3 (Marc. cccxiv)

Ex Vetti Valentis Ἀνθολογιῶν libris.
Prooemium 83
Liber I 88
Liber II 117

Excerpta ex codice 5 (Marc. cccxxiv)

Ex " introductione et fundamento astrologiae " Achmetis.
Εἰσαγωγὴ καὶ θεμέλιον εἰς τὴν ἀστρολογίαν· ποίημα Ἀχμάτου τοῦ Πέρσου 122
Προοίμιον εἰς τὴν ἀστρολογίαν ἐκ τοῦ πρώτου λόγου τῶν Περσῶν. 122
Περὶ σχημάτων πάντων τῶν ἀστέρων, καθὼς εἶπον Μασήρης ὁ Πέρσης καὶ Μουχαμάτης ὁ Παλχιώτης· μετηνέχθη δ' ἐκ τῆς τῶν Περσῶν διαλέκτου 123
Κρίσις Ἀλεὶμ υἱοῦ Ἰσαὰχ ἔχουσα χρήσιμόν τι καὶ ἀποδεικνύουσα πῶς ἐπὶ τοῦ αὐτοῦ πράγματος ἐρωτηθείς, ἄλλο καὶ ἄλλο συνέβη, καθὼς εἶπεν, καὶ ἕτερα αὐτοῦ χρήσιμα 131
Θεμάτιον ἐγχαραχθὲν παρὰ τοῦ φιλοσόφου Ἐλευθερίου τοῦ Ζεβελήνοῦ χρήσιμον εἰς πολλά, καὶ περὶ χρόνων ζωῆς τοῦ ἐρωτῶντος καὶ τῶν διὰ τῶν χρόνων τούτων ἐπιγ<ενησομένων αὐτῷ> . . 132
Περὶ καταρχῶν. Διάφορά τινων σοφῶν 136

Digitized by Google

Excerpta ex codice 6 (Marc. cccxxxiv)

Dodecaeteridos Chaldaicae formae duae.
Prooemium 139
Dodecaeteris prior 144
Dodecaeteris altera 150
Achmes de figuris decanorum.
Prooemium 152
Περὶ δεκανῶν 153
Τοῦ Δωροθέου περὶ ἀρρώστων. 157
Περὶ ἐμέτου καὶ καθάρσεως 157
Περὶ τῶν δώδεκα τόπων 158
Περὶ τῶν ἐν Ξένῃ θανόντων. 159
Anonymi de planetis.
Prooemium 159
Περὶ κράσεως καὶ φύσεως τῶν ἀστέρων καὶ τῶν ἀποτελουμένων καὶ σημαινομένων ἐκ τῆς συμπαρουσίας καὶ τοῦ σχηματισμοῦ αὐτῶν . 160

Excerpta ex codice 7 (Marc. cccxxxv)

Stephani philosophi de arte mathematica.
Prooemium 181
Τοῦ Στεφάνου φιλοσόφου περὶ τῆς μαθηματικῆς τέχνης . . 181
Περὶ σπορᾶς ἐκ τῶν Ῥητορίου. 186
Περὶ γονέων 187
Περὶ προτελευτῆς γονέων 188
Περὶ ἀδελφῶν. 189
Περὶ πράξεως καὶ ἐπιτηδεύματος καὶ τεχνῶν 190
Περὶ τῆς δορυφορίας τῶν ἀστέρων πρὸς τὰ φῶτα 191
Περὶ ἐπιστολῆς ἀναδόσεως ἐκ τῶν Ζωροάστρου 192
Σχόλιον ἐκ τῶν Θεοφίλου περὶ ζωῆς 195
Δωροθέου περὶ ἐπεμβάσεων 195
Ἔτι περὶ ἐπεμβάσεων <Anubionis> 202
Περὶ τῶν πρὸς ἀλλήλους σχηματισμῶν τῶν ἀστέρων, ἐκ τῶν Ἀνουβίωνος 204
Περὶ τετραγώνων 206
Περὶ διαμέτρων 209
Περὶ μετοικισμῶν· Δευκαλλίωνος 212
Ῥητορίου πόθεν δεῖ ἐκβάλλειν τὰ ἔτη ἐπὶ τῆς <περὶ> γονέων σκέψεως 212
Ἀπὸ τοῦ Θεοδοσίου περὶ τοῦ γνῶναι τὴν ἡμέραν ἐν ᾗ τις τεθνήξεται 213
Τοῦ πρωτοσπαθαρίου καὶ στρατηγοῦ τῶν Κιβυρραιωτῶν περὶ τῶν παρατηρουμένων ἀστέρων παρὰ τοῖς πλευστικοῖς . . . 214
ADDENDA ET CORRIGENDA. 217

INDICES

Nomina scriptorum 219
Nomina cetera 221

Bruxellis. — Typis Polleunis & Ceuterick.

Digitized by Google

ου μὴ φονεύσῃς, ἀλλὰ καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ἰδοὺ δὲ ὁ τοῦ ἡ-
ωὶ ἀφρὶ τὸ τόπω, πολὺ κτήσασθαι ἐπιθυμῶν καὶ πτωχὸς ὢν.
οἰκοδεσπότης κτίζοντος κώμας καὶ οἴκους. εἰδὲ ὁ λίος ἐπὶ τῆ
μετὰ δώρων φίλος. ἐπὶ βασιλέων ἱερεῖς ἐν τῷ
τασ λόγων προκοπῇ καὶ χειμάτων πλείστων καὶ δεινῶν μόσ
εἰδὲ ὁ κλωσθένης μετὰ ζωμίνης καὶ πρόσκαιρον καὶ ἐφ.
ἐπὶ τοῦ ζωῆ τοῦ χοῦ σὺν τῷ ἐν οἰκοδεσπότῃ αὐτῆς, πολὺ χρόνιος
χνόμενος καὶ σωφρονοῦσιν ἐν ἐνδιαιτήσει, οἱ δὲ ἀγαθοποιοῦν
πρὸς δόξαν μετὰ φιλοῦσιν. οἱ δὲ κλεοποιοῦν, ἐν ἰσχύουσι βλάπ.
δυοὶ ἀγαθοποιοὶ κυριεύσουσι τοῦ πρόσκαιρ
ἡ τῆς τύχης καὶ πλεονέκτησιν, ὡς ἐστὸ τὸν βίον ἔζησεν. ἰδοὺ δὲ καὶ
τὸν δὲ χίτυπον καὶ ἐφ. καὶ πρόσωπον ζωῆς οἰκοδεσπότης ὢν τῶν
ὑπόγειν, ὑπὸ δαιμονίων καὶ φλαστάσας ἐδώλων, χειμάζεται ἀνήσεν.
ἰδοὺ δὲ ὁ τοῦ ἡ συμπόρευτοῦ τοῖς, καὶ πρὸ ὡς δίκαιος τῶν τύχη τὸν
ἀλλ' ἀκῶν ἐζῆ τὸν βίον αἰχμάλωτον. καὶ εἰς πειρασμὸν πέσῃ
σῶν ἐπιρροὴ καὶ κουφίσας. καὶ βίαιος θάνατοι. πόρρω τῆς ἐντὸς
ὁ τόπος οὗτος, μετὰ δὲ ἀλλαγὴ φίλιας ποιεῖ. καὶ κατὰ λήθειν ἐξοις
ὡ τοῦτο καὶ ποιοῦ τυχὸν τῶν ἐν, οἷς δὲ θέλωσι τὰ αὐτῶν κατα
λείπουσιν
μ τοῦ ζῆ ζῶν ἰδοὺ τύχη ἐν καὶ πρὸ ὡς δίκαιος τὸν πονηρὸν
καὶ φονεύσῃ πρόσωπον ὃ πεν ὑμῖν ἐστι καὶ πολλῶν
λιθῶν κυριεύσει δόξει πολὺ. καὶ πολλοὶ ὡς τάξη καὶ ἐπακυ
θήσῃ καὶ θησαυρῶν κυριεύσει. εἰδὲ συμπόρευτοῦ ὄν καὶ
εἰ κτῆσις μὴ πλὴν ἀλλὰ λαμβάνει, ἐπιεύθεια σμίσης. ἢ ἐρεῖς καὶ
βίον ἀκαθυστέρητον ἰδοὺ δὲ τοῦ ἡ συμπόρευτοῦ τὸ ἐν. θεοχάλφος
σμιστικὸς πολλὰ κτίσεις πρὸς τὸν ἐρχόμενον καὶ πολλὰ βλασφημῶν
θεοῦ, ἵνα μὴ ἐν τῷ ὑπὸ συμβαίνοντα αὐτῷ πολλὰ τῶν ἰδοὺ δὲ τοῦ ἡ
συμπόρευτοῦ αὐτῷ, ἵνα προφήτης δὲ τυχὸς πλούσιος ὡς δόξος πολλ
λῶν κυριεύσῃ ἰδοὺ δὲ τοῦ ἡ συμπόρευτοῦ ἐν. πρακτῆρ, ἀλλὰ σε
καὶ πρὸ ἀγαθῶν κασάμενος ἐστι ἐν σοφὰ πολλὰ ἐστι. ἡ φόρ. κλῆς τὸν βίον
σωάξει. ἐν ἐπιτύσει πολλὰ εἰδὲ οἰκείος τυχὸν ἐν ἡ ἐστὸ τὸ, ἀκολουθῆ
τῆ αἱρέσει πλὴν πρίσω, σοφὴ πρὸ ἐστὶ χωρὶς καὶ πόλεως ἀλήθος,
ὡς ὅρκος. ἄλλος τρίωνι πθυμεῖ πρὸ. καὶ αἱ φιλήσας πολεῖται χάλος
βουσίας. ἰδοὺ δὲ ἐν ἡ ἐστὸ ποιοῦ ὡς κρατῆ σύν τοῦ τὸ θεὸ αὐτῷ σκ,

Digitized by Google

Digitized by Google

UNIV. OF MICH.
MAY 25 1910

Digitized by Google

Digitized by Google